†) καὶ παρὰ Ἀριστοφάνει προηθετοῦντο οὗτοι οἱ δύο στίχοι· ἐκ γὰρ τοῦ λόγου τῆς Ἀθηνᾶς (α 301) μετήχθησαν ἐνθάδε. HMQ. (μετηνέχθησαν Cobetus). καὶ addidit Dind. ex M. Aristonici verba sic fere restituenda sunt: ἀθετοῦνται οὗτοι οἱ δύο στίχοι μετὰ ἀστερίσκων ὅτι οὐ δεόντως ἐκ τοῦ λόγου τῆς Ἀθηνᾶς μετάκεινται ἐνθάδε. προηθετοῦντο κ. τ. λ.

ἀλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον
209. πατρί τ' ἐμῷ καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης.

*) περιττός (209)· ἀρκεῖ γὰρ ὁ πρὸ αὐτοῦ· [διὸ καὶ ἀθετεῖται] H. cf. L. Ar. 343, VIII.

216. τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθών,
ἤ ὅ γε μοῦνος ἐὼν . . .

Fuit diple periestigmene propter lectionem Zenodoti, quam commemorat schol. HEQ. Ζηνόδοτος γράφει ἀποτίσεαι, καὶ τὸ ἑξῆς ἢ σύγε μοῦνος. cf. Ar. ad v. 231.

219. cf. not. 3.

228. οὐκ ἂν ἔμοιγε
ἐλπομένῳ τὰ γένοιτ', οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν

*) [ἡ διπλῆ ὅτι] ὑπερβολικῶς τοῦτο εἴρηκεν ἐν ἤθει· ὅπερ

---

not. 3. 219. περικήδετο.
ὑφ' ἓν τὸ περικήδετο ἀντὶ τοῦ ὑπερεκήδετο· οὕτως Ἀρίσταρχος . . HM. cf. β 111 ὑποκρίνονται pro ἀποκρίνονται, L. qu. ep. 87 F. Ar. 28, sed censet, hoc pro certo testimonio esse non posse.

οὐ συνεὶς ὁ Ζηνόδοτος γράφει „εἰ μὴ θεοὶ ὥς ἐθέλοιεν“. HMQRT.

230. *Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;*
ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.

Fuit diple periestigmene, quod Zenodotus v. 230 mutavit propter metrum et sequentem expunxit cf. HM: οὗτος ὁ στίχος λαγαρός ἐστι. διὸ Ζηνόδοτος ἴσως μετέγραφε „Τηλέμαχ' ὑψαγόρη μέγα νήπιε, ποῖον ἔειπες;“ τὸν δὲ δεύτερον περιήγει τελέως διὰ τὸ μαχόμενον αὐτῷ „εἰ μὴ θεοὶ ὥς ἐθέλοιεν.“ (228). cf. Eust. 1464, 62 qui quid sit στίχος λαγαρός explanat.

*) 231. σημείωσαι τὸν στίχον. ὅτι καὶ ἀνωτέρω οὐ περὶ Τηλεμάχου, ἀλλὰ περὶ Ὀδυσσέως εἴρηται, τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθών; (216) HMQ.

Pertinet ad refutationem lectionis Zenodoti cf. ad v. 216.

232. *βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας*
οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι
ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων
ὤλεθ' ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.
236. *ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ*
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο.“

*) ἀθετοῦνται στίχοι ἑπτὰ ἀπὸ τοῦ „βουλοίμην δ' ἂν ἔγωγε“ μέχρι τοῦ „μοῖρ' ὀλοὴ·“ οἱ μὲν πρῶτοι τέσσαρες ὡς οὐκ ἀκολούθως τοῖς προκειμένοις ἐπενεχθέντες. οἱ δὲ ἑξῆς τρεῖς διὰ τὸ ἀσύμφωνον. ἐναντίοι γάρ εἰσι τῷ „ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι. EHMQR. Obeli sunt appicti in M.

241. *κείνῳ δ' οὐκέτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη*
φράσσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.

†) ὀβελίζονται δύο. τί γὰρ ὄφελος λέγεσθαι, τῆς Ἀθηνᾶς εἰπούσης „ποῖόν σε ἔπος φύγεν; ῥεῖα θεός γ' ἐθέλων.“ ἄλλως τε, εἰ οὕτως πέπεισται, τί ζητεῖ περὶ τῶν νόστων; HMQR.

244. *Νέστορ' ἐπεὶ περίοιδε δίκας ἠδὲ φρόνιν ἄλλων.*
τρὶς γὰρ δή μίν φασιν ἀνάξασθαι γένε' ἀνδρῶν,
ὥς τέ μοι ἀθάνατος ἰνδάλλεται εἰσοράασθαι.

*) ἀθετοῦνται οἱ τρεῖς στίχοι οὗτοι ὡς περιττοί. HM. Versibus obelos apposuit in M. manus recentior.

255. ἤτοι μὲν τάδε καὐτὸς ὀίεαι.

*) [ἡ διπλῆ ὅτι] τὸ πλῆρές ἐστι τῆς συναλοιφῆς κε [αὐτός· Ὁμηρικὸν δὲ τὸν κέ περιττὸν εἶναι.] τὸ δὲ ὅμοιον ἐν Ἰλιάδι „ἔπειτα δὲ καὐτὸς οἰήσεαι". HM. (Z 260).

Corr. quod cod. habent κέν ἀντὶ τοῦ δή. cf. ad Z 260. Y 311. F. Ar. p. 8.

258. τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν.

*) [ἡ διπλῆ ὅτι οὐ πᾶσαν γῆν οὕτως λέγει, ἀλλὰ] τὴν ἐπιχεομένην τοῖς νεκροῖς γῆν T. (Dind. p. 749) cf. Z 464. Ξ 114. Ψ 256. L. Ar. 102.

266. δῖα Κλυταιμνήστρη.

Dipla fuisse videtur ὅτι ἀκαίρως τὸ δῖα. cf. Ar. ad Z 160 et schol. in cod. A. ibidem.

272. τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν.

†) ἐθέλων Ὅμηρος τρισυλλάβως H.

cf. H 111. ο 316. ubi edi solet ὅττι θέλοιεν Ar. legit ὅττ' ἐθέλοιεν. Eust. 1467, 28.

276. ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες.

*) [ἡ διπλῆ περιεστιγμένη ὅτι] Ζηνόδοτος [γράφει] ἀναπλέομεν, κακῶς· Ὅμηρος γὰρ τὸν εἰς Τροίαν πλοῦν ἀνάπλουν φησίν M.

cf. L. Ar. 111. Ceterum idem in schol. ad γ 296 observat Porphyrius.

287. Μαλειάων ὄρος αἰπύ.

*) ὅτι ὡς Κρητάων (ξ 199) καὶ Μαλειάων [νῦν μὲν πληθυντικῶς εἴρηται, ἀλλαχοῦ δὲ ἑνικῶς] ὡς „Κρήτη τις γαῖά ἐστι" (τ 172) καὶ „περιγνάμπτοντα Μάλειαν" (ι 80) HMQ.

Pertinet ad id, quod saepius Ar. adnotavit, nonnulla substantiva nunc in singulari, nunc in forma plurali apud Homerum legi. cf. L. Ar. 236. δ 514. η 80. θ 16. ι 80. ξ 199. ο 296. Eust. 1468, 12.

296. *ἐς Φαιστόν, μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.*
Fuit diple periestigmene contra Zenodotum, qui legit: *Μαλέου δὲ λίθος.* cf. schol. EMQV et Eust. 1469, 18.

305. *δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.*
Ἀρίσταρχος δέδμηντο, ὡς „ἡ πληθὺς ἀπονέοντο" (*O* 305) HMQR.

Scholion Didymi videtur esse, sed certe ad hanc lectionem apposuit Ar. *διπλῆν πρὸς τὸ σχῆμα, ὅτι πληθυντικῶς ἀπήντηκεν.* cf. F. Ar. p. 16.

306. *ἤλυθε δῖος Ὀρέστης*
ἂψ ἀπ' Ἀθηνάων, κατὰ δ' ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν
μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο.

307. Diple periestigmene propter Zenodoti lectionem *ἂψ ἀπὸ Φωκήων.* Ar. *ἂψ ἀπ' Ἀθηναίης.*

†) 309. 310. *ὁ Ἀρίσταρχός φησι, ὅτι διὰ τούτων παρυποφαίνεται ὅτι συναπώλετο Αἰγίσθῳ ἡ Κλυταιμνήστρα· τὸ δὲ εἰ καὶ ὑπὸ Ὀρέστου, ἄδηλον εἶναι. οὐδὲ γὰρ τὰ περὶ τὴν Ἐριφύλην εἰδέναι αὐτὸν* MQRT.

cf. L. Ar. 182, *α* 300. *λ* 409. V. ad *I* 456.

†) 309. *τάφος ὁ ἐπιτάφιος δεῖπνος* EB.

Fluxit ex Ar. cf. *Ψ* 29. *δ* 547.

313. *καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο.*

†) *οὗτος ὁ τόπος ἀνέπεισε Ζηνόδοτον ἐν τοῖς περὶ τῆς ἀποδημίας Τηλεμάχου διόλου τὴν Κρήτην ἔναντι τῆς Σπάρτης ποιεῖν· οἴεται γὰρ ἐκ τούτων τῶν λόγων κατὰ τὸ σιωπώμενον ἀκηκοέναι τὸν Νέστορα παρὰ τοῦ Τηλεμάχου ὅτι καὶ ἀλλαχόσε περὶ τοῦ πατρὸς πευσόμενος παρεσκεύαστο πλεῖν. διὸ καὶ ἐν τῇ α' ῥαψῳδίᾳ* (93) *ἔγραψε „πέμψω δ' ἐς Κρήτην τε καὶ ἐς Πύλον ἠμαθόεντα" καὶ ἡ Ἀθηνᾶ ἀλλαχοῦ „πρῶτα μὲν ἐς Πύλον ἐλθὲ, κεῖθεν δ' ἐς Κρήτην τε παρ' Ἰδομενῆα ἄνακτα, ὃς γὰρ δεύκατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων."* (*α* 284) HMQR. cf. *α* 93. *β* 359. *δ* 702.

317. *ἀλλ᾽ ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα.*
*) [ἡ διπλῆ ὅτι] *τὸ εἰς Μενέλαον* (*δὲ*) *ἀντὶ τοῦ πρὸς Μενέλαον, ὡς „εἰς Ἀγαμέμνονα δῖον ἄγον"* M. cf. L. qu. ep. 87. Fr. Ar. 27. ***H*** 312. *X* 492. *Ψ* 36.

cf. not. 4 et 5.

334. *σπείσαντες κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.*
ἤδη γὰρ φάος οἴχεθ᾽ ὑπὸ ζόφον.
*) 334. [*ἡ διπλῆ ὅτι*] *ἀρσενικῶς εἶπε τὴν κοίτην* Q. cf. ad *α* 246 et locos ibi collatos.
*) 335. [*ἡ διπλῆ ὅτι ἐξ ἡρωϊκοῦ προσώπου εἴρηται*]· *ὁ δὲ ποιητὴς εἰς ὠκεανὸν τὴν δύσιν καὶ ἐξ ὠκεανοῦ τὴν ἀνατολήν φησι γίνεσθαι.* MQRT. cf. L. Ar. 175. *μ* 3. *γ* 1. Correxi initium pro cod. *ἡρωϊκὸν πρόσωπόν ἐστι τὸ λέγον.*
†) *Ζηνόδοτος ᾤχετο* H. pro *οἴχεται.*

345. cf. notam 6.

349. *ᾧ οὔτε χλαῖναι καὶ ῥήγεα πόλλ᾽ ἐνὶ οἴκῳ.*
Fuit diple periestigmene, quod Zenodotus scripsit: *„ᾧ οὔπερ χλαῖναι καὶ κτήματα πόλλ᾽ ἐνὶ οἴκῳ" ἀκαίρως* MT. Aristarchus legit *ᾧ οὔτι, αἱ φαυλότεραι ᾧ οὔτε* cf. Didymum ad hunc versum in M.

---

not. 4. 317. *ἀλλ᾽ ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα σημείωσαι ὅτι τὸ κέλομαι καὶ τὸ ἄνωγα λαμβάνονται ἐπὶ τοῦ παραινεῖν καὶ συμβουλεύειν* E.
Fortasse fluxit ex Ar., qui in vocabulis idem fere significantibus adnotavit: *ὅτι παραλλήλως τὸ κέλομαι καὶ ἄνωγα· ἰσοδυναμοῦσι γὰρ αἱ λέξεις.* Commemorat nostro loco *παραλληλίαν ταυτολογικὴν* Eust. 1470, 15. cf. ad *A* 99, 270. *B* 8. *Γ* 184, 205. *N* 276. *Ξ* 206 etc. *δ* 685.

nota 5. 321. *ὅθεν τέ περ οὐδ᾽ οἰωνοί ‖ αὐτόετες οἰχνεῦσιν. ὑπερβολικῶς τοῦτό φησιν· ἐπάγει οὖν „πεμπταῖοι δ᾽ Αἴγυπτον"* (ξ 257) HM.
Talia inter se discrepantia Ar. notare solebat et fortasse scholion emanavit ex Aristonico. cf. Eust. 1470, 18.
not. 6. 345. *καθαπτόμενος ἐπέεσσι. σημείωσαι τὸ καθαπτόμενος ἐπὶ καλοῦ.* E. cf. *β* 39.

362. *οἷος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι.*
) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ ἁπλοῦ τοῦ γεραιός· κακῶς δὲ Ζηνόδοτος γεραίτατος (cod. γεραίτερος) γράφει. M. cf. F. Ar. p. 30. *γ* 125. *η* 159.

368. *ἐπεὶ τεὸν ἵκετο δῶμα.*
Diple periestigmene propter Zenodoti scripturam *ἐπεὶ τὰ σὰ γοῦναθ᾽ ἱκάνει.* cf. in HQN.

378. *ἀλλὰ Διὸς θυγάτηρ, ἀγελείη τριτογένεια.*
Zenodotus pro *ἀγελείη* dedit *κυδίστη*, quam ob rem fuit diple periestigmene cf. schol. in HM. Eust. 1473, 18. *ἀγελείη* legitur in codd. ABDEHIKLMNP: *κυδίστη* in EQV. cf. La Roche.

380. *ἀλλὰ ἄνασσ᾽ ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν.*
†) *Ζηνόδοτος ἀλλὰ ἄνασσ᾽ ἐλέαιρε* HM. pro *ἵληθι* legit.

396. *οἱ μὲν κακκείοντες ἔβαν.*
†) *κοιμηθησόμενοι· ἐνεστὼς δὲ ἀντὶ μέλλοντος. κείω γὰρ τὸν μέλλοντα οὐκ ἔχει, ὥσπερ καὶ τὰ ἄλλα ὅμοια, καὶ χρῆται τῷ ἐνεστῶτι ἀντὶ μέλλοντος.* E.
Fluxit ex Ar. cf. F. Ar. p. 6. *γ* 82 et locos ibi collatos.

399. *ὑπ᾽ αἰθούσῃ ἐριδούπῳ.*
Quod afferunt BEQV de vocabulo *αἴθουσα* ex Ar. fluxisse videtur, qui sic interpretatur *Υ* 11: *αἱ αἴθουσαι οὐκ εἰσὶ θρόνοι ἢ καθέδραι, ἀλλὰ στοαὶ καὶ στυλωταὶ ἕδραι ἢ τόποι ὑφ᾽ ἡλίου καταλαμπόμενοι.*

400 et 401. *πὰρ δ᾽ ἄρ᾽ ἐυμμελίην Πεισίστρατον, ὄρχαμον ἀνδρῶν,*
ὅς οἱ ἔτ᾽ ἠίθεος παίδων ἦν ἐν μεγάροισιν.
Hos versus Zenodotus expunxit cf. schol. HMQR.

402. *αὐτὸς δ᾽ αὖτε καθεῦδε.*
Fuit diple periestigmene propter Zenodoti lectionem: *αὐτὸς δ᾽ αὖτ᾽ ἐκάθευδε* cf. in H, ubi Zenodotus quidem non nominatur, sed ex adnotationibus Ar. ad *Α* 68. 611. *Ο* 716 scimus, illum ante praepositionem augmentum ponere amavisse, quod

Aristarchus omisit, ὅτι οὐκ ἐᾷ ἑλληνίζειν τὸν Ομηρον. cf. ζ 1. δ 304.

422. ἐλάσῃ δὲ βοῶν ἐπιβουκόλος ἀνήρ.

*) ὅτι τὸ βοῶν παρέλκει καὶ μετὰ τῆς προθέσεως εἴρηται ἐπιβουκόλος. H.

cf. L. Ar. 109. γ 195 et exempla quae ibi collegi. Eust. 1475, 11.

425. χρυσοχόον Λαέρκεα.

†) τινὲς τὸ λαέρκεά φησιν ὄνομα κύριον, τινὲς δὲ ἐπίθετον παρὰ τὸ ἐπαρκεῖν τοῖς λαοῖς E. Ex schol. ad Π 197 Aristarchum Λαέρκεα nomen proprium existimavisse constat. Praeterea certe fuit nota de homonymia. cf. ibid.

Quod fuse legitur in EMQ ad v. 440 de vocabulis χέρνιβα et λέβης fluxit fortasse ex Ar., qui ad Ω 304 sic interpretatus est: λέβητα τὸ ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ ὕδωρ, τὸ παρ᾽ ἡμῖν λεγόμενον χέρνιβον (sic etiam EMQ), τὸ δὲ κατὰ τῶν χειρῶν διδόμενον ὕδωρ χέρνιβα. cf. α 136.

444. Περσεὺς δ᾽ ἀμνίον εἶχε.

Notata fuit Zenodoti lectio δάμνιον pro ἄμνιον, ἅπαξ εἰρημένον cf. M.: ἄμνιον ἀγγεῖον εἰς ὃ τὸ αἷμα τοῦ ἱερείου ἐδέχοντο. Ζηνόδοτος δὲ ἐν ταῖς ἀπὸ τοῦ δ γλώσσαις τίθησι τὴν λέξιν. ἅπαξ δὲ ἐνταῦθα παρ᾽ Ὁμήρῳ ἡ λέξις M. cf. Apoll. l. h. 25, 26.

445. not. 7.

449. τένοντας.

*) [ἡ διπλῆ ὅτι] πάντα τὰ διατεταμένα νεῦρα τένοντας καλεῖ ὁ Ὅμηρος. EQM. cf. ad Υ 478. Χ 396.

453. οἱ μὲν ἔπειτ᾽ ἀνελόντες ἀπὸ χθονὸς.

*) [ἡ διπλῆ ὅτι] τὸ ἀνελόντες δηλοῖ τὸ ἄνω ἑλόντες· ἐκ

---

not. 7. 445. χέρνιβά τ᾽ οὐλοχύτας τε κατήρχετο. ἀντὶ τοῦ χερνίβων καὶ οὐλοχυτῶν πρῶτος ἦρχε. EHMQP. Fluxit fortasse ex Ar.

τούτου δὲ τὸ αὖ ἐρύσαντες δηλοῦται. BHMQ. cf. ad *M* 261. *Θ* 325.

456. ἄφαρ δ' ἐκ μηρία τάμνον
πάντα κατὰ μοῖραν.

*) [ἡ διπλῆ ὅτι τὸ πάντα ἀντὶ τοῦ ὅλα,] ὅλα διεμέλισαν τὰ μηρία, ὡς τὸ „πᾶσαι δ' ὠΐγνυντο πύλαι“ (B 809) HM.

cf. L. Ar. 126. Eust. 1476, 65.

458. δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.

Quod legitur in E ad v. 470 referendum est ad nostrum locum et fluxit ex Aristonico, cuius insunt verba, quae ex *A* 461 hic possui: ἀπὸ τῶν ὠμῶν ἱερείων ἀπαρξάμενοι ἔκοψαν μικρὸν ἀπὸ παντὸς μέλους καὶ ἐπέθηκεν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρποῦσθαι· διὸ ἡ διπλῆ.

464. τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη.

*) ὅτι ὑπὸ παρθένων ἔθος ἦν τοὺς ἥρωας λούεσθαι· πρὸς τὰ περὶ Ἥβης· λούει γὰρ καὶ αὐτὴ τὸν Ἄρεα ὡς παρθένος. πῶς οὖν διὰ τῶν ἀθετουμένων Ἡρακλεῖ συνοικεῖ; HMQ.

cf. ad *E* 905. λ 568. 601. L. Ar. 185.

467. ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα
ἔκ ῥ' ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος.

*) [ἡ διπλῆ ὅτι] τὸ δεύτερον πρῶτον εἶπεν, ὡς τὸ „οὐδ' ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ' ἄποινα“. (*A* 95) HM.

475. παῖδες ἐμοί, ἄγε . . . ζεύξαθ' . .

†) σημείωσαι τὸ ἄγε πληθυντικὸν πρὸς τὸ ζεύξατε E. cf. *ϑ* 11.

486. οἱ δὲ πανημέριοι σεῖον ζυγόν.

*) [ἡ διπλῆ ὅτι] ἐκ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον δεδήλωκεν (cod. ἐδήλωσεν) ἀντὶ τοῦ ὥδευον, (addidi ex MV) ὡς ἐπὶ τοῦ „ἑζόμενοι λεύκαινον ὕδωρ“. (μ 171) MQRT.

cf. F. Ar. *B* 417. δ 580. ζ 83. μ 172. ν 78. ο 184.

489. *υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.*

In HMQR notatum est, Zenodotum pro *Ὀρσίλοχον* hic et *E* 549 *Ὀρτίλοχον* scripsisse, commotum hoc versu. In Il. scholiis huius lectionis nullum est vestigium, nisi quod LV ad *E* 542 habent: *ὁ πρόγονος διὰ τοῦ τ, ὁ παῖς διὰ τοῦ σ καὶ ἐν Ὀδυσσείᾳ οὖν* (*φ* 16). *Ὀρτιλόχοιο* habent ABDEGH 1. m. LMQS Strabo VIII, p. 367; Tzetzes Alleg. 135: *Ὀρσιλόχοιο* H. ex em. IN cf. La Roche.

---

not. 8. 496. *τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι.* *ἀντὶ τοῦ τοίως.* MPQ.

Fortasse fluxit ex Ar. cf. ad *α* 209. F. Ar. p. 29.

Δ.

1. οἵ δ' ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν
πρὸς δ' ἄρα δώματ' ἔλων Μενελάου κυδαλίμοιο.

Ex scholiis in HQMT apparet, Aristarchi diplam fuisse ὅτι ὁμωνύμως τῇ χώρᾳ τὴν Σπάρτην Λακεδαίμονα εἴρηκεν. cf. ad Φ 544. Et fuit diple periestigmene propter Zenodoti lectionem καιετάεσσαν ἀντὶ τοῦ καλαμινθώδη. cf. HMQR. Sic etiam B 581 cf. in D. Eust. 1478, 38. Strabo VIII, p. 367.

3. τὸν δ' εὗρον δαινύντα γάμον.

†) ὥσπερ ἀλλαχοῦ φησιν Ὅμηρος τάφον τὴν ἐπὶ τεθνεῶτί τινι εὐωχίαν, οὕτω καὶ νῦν γάμον τὴν ἐπὶ γάμου δαῖτα M.

cf. Ψ 29. γ 307.

12. ὃς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης
ἐκ δούλης.

†) τινὲς τὸ δούλης κύριόν φασι διὰ τὸ μηδέποτε οὕτω λέγειν τὸν ποιητὴν τὴν θεράπαιναν. διὸ καὶ τὸ „εἰσόκεν ἢ ἄλοχον ποιήσεται ἢ ὅγε δούλην" (Γ 409) ἀθετοῦσιν. HMQR.

cf. Eust. 1479, 62. Observatio est recta, apud Homerum vocabulum δοῦλον nusquam, δούλην uno modo loco Γ409 reperiri pro δμώς, δμωή. At v. 396—418 expunxit Aristarchus. Aristonicus quidem alias caussas enumerat, sed facile in tam multis excidere poterat illa, quod in novo vocabulo δούλη haesitabat, et verisimile est, ut Friedlaenderus monet, hoc suspicionem auxisse. (Nunc iam non Q solum, sed etiam HMRTV testantur). Qua

ex re coniicere licebit, Aristarchum nostro loco *δούλην* nomen proprium existimavisse.

19. *δοιὼ δὲ κυβιστῆρε κατ᾽ αὐτούς*
μολπῆς ἐξάρχοντος ἐδίνευον κατὰ μέσσους.

*) *ὅτι οὐ τὴν ᾠδὴν, ἀλλὰ τὴν παιγνίαν λέγει οὕτω, πρὸς τὸ „μέλποντες Ἑκάεργον·“* (*Α* 474) *καὶ γὰρ „κυνῶν μέλπηθρα“* (*Ν* 233) *φησί.* MQ.

cf. F. Ar. ad *Α* 474. L. Ar. 138. *α* 152. *ζ* 101.

29. *ἢ ἄλλον πέμπωμεν ἱκανέμεν, ὅς κε φιλήσῃ.*

*) *ὅτι ἐπὶ τοῦ ξενίζειν τὸ φιλεῖν τίθησι· παρέλκει δὲ ὁ κέ* M. *καὶ ὅτι λείπει ἡ εἰς, ἵν᾽ ᾖ εἰς ἄλλον.* addidi ex B.

cf. L. Ar. 147. F. Ar. p. 11 et 26.

36. *ἐς δ᾽ αὐτοὺς προτέρω ἄγε θοινηθῆναι.*

*) [*ἡ διπλῆ ὅτι τὸ προτέρω*] *τοπικῶς ἀντὶ τοῦ εἰς τοὔμπροσθεν* BQF.

cf. *Κ* 469. *ε* 417. *ι* 62. *ω* 475. L. Ar. 151.

47. *ὁρώμενοι.*

*) [*ἡ διπλῆ ὅτι ἀντὶ τοῦ*] *ὁρῶντες, τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ.* BE.

cf. F. Ar. 2. *δ* 322. *η* 33. *σ* 8. *α* 404. *β* 102.

61. not. 1.

62. *ἀνδρῶν· οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων,*
ἀλλ᾽ ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων
σκηπτούχων, ἐπεὶ οὔ κε κακοὶ τοιούσδε τέκοιεν.

†) *προηθετοῦντο καὶ παρὰ Ζηνοδότῳ καὶ παρὰ Ἀριστοφάνει· τό τε γὰρ σφῶϊν οὐχ Ὁμηρικῶς μονοσυλλάβως ἐξηνέχθη ὅ τε ἔπαινος τῶν νέων οὐκ ἀναγκαῖος* HM.

---

not. 1. 61. *δείπνου πασσαμένω.*

τοῖς ὁδοιπορήσασι δείπνου δηλονότι γενομένου· αὐτὸς γὰρ ἑξῆς φησι „δόρπου δ᾽ ἐξαῦτις μνησώμεθα“ (213) *καὶ „οὐ γὰρ ἔγωγε τέρπομ᾽ ὀδυρόμενος μεταδόρπιος“* (194) HMQ.

Sic fortasse interpretatus est Ar. locum, qui videtur repugnare observationi eius, nunquam de coena vespertina apud Homerum aliud nomen dici quam *δόρπον*. Accuratissime hac de re egit Lehrsius p. 129. cf. *α* 124 et locos ibi collatos.

Aristonici scholion sic fere restituendum est: *ἀθετοῦνται οἱ στίχοι, ὅτι τὸ σφῶν οὐχ Ὁμηρικῶς μονοσυλλάβως ἐξενήνεκται· πρὸς γὰρ αὐτοὺς, οὐ περὶ αὐτῶν ἐστιν ὁ λόγος· καὶ ὅτι ὁ ἔπαινος τῶν νέων οὐκ ἀναγκαῖος· προηθετοῦντο κ. τ. λ.* Aristarchum *σφῶν* legisse apparet ex HM: *ἐπίτηδες δὲ Ἀρίσταρχος ἀθετουμένων τῶν στίχων καὶ ἄνευ τοῦ ῑ εἴασε τὴν γραφὴν, ἵνα καὶ τοῦτο πρὸς τὴν ἀθέτησιν λαμβάνῃ.* cf. Apoll. *περὶ ἀντωνυμιῶν* p. 370.

70. *πευθοίαθ' οἱ ἄλλοι.*

Diple periestigmene contra Zenodotum, sic enim legit, Ar. sine articulo *πευθοίατο ἄλλοι.*

cf. *α* 157. *ρ* 592.

99. *ἑκὰς Ἄργεος ἱπποβότοιο.*

*) [*ἡ διπλῆ ὅτι Ἄργος ἱππόβοτον*] *τὴν Πελοπόννησον* [*λέγει*]. E.

Observatum est propter discrimen inter Argos Peloponnesi factum et Argos Thessaliae, quam *Ἄργος Πελασγικὸν* nominat. cf. L. Ar. 227.

105. *ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδήν.*

*) [*ἡ διπλῆ ὅτι ἀπεχθαίρει ἀντὶ τοῦ*] *ἀπεχθαίρειν ποιεῖ, ὡς „πάντας μὲν ῥ' ἔλπει"* (*ν* 380) HMQ. cf. *β* 68, 91.

112. *Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.*

*) [*ἡ διπλῆ ὅτι οὐ λέγει νέον κατὰ τὴν ἡλικίαν, ἀλλὰ κατὰ μεσότητα ἀντὶ τοῦ*] *νεωστὶ γεγονότα, ὡς καὶ ἐν Ἰλιάδι* (*I* 446) *„νέον ἡβώοντα" τουτέστι νεωστὶ ἡβῶντα.* MQ.

cf. F. Ar. 29, *α* 209 et locos, quos ibi contuli.

118. *ἠέ μιν αὐτὸν πατρὸς ἐάσειε μνησθῆναι.*

†) *σημειοῦνταί τινες, ὅτι παραλλήλως ἔταξε μίν καὶ αὐτόν* HM.

cf. ad *γ* 317. *δ* 244.

---

not. 2. 123. *τῇ δ' ἄρ' ἅμ' Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκεν,*
Ἀλκίππη . . Φυλώ, . . . Ἀλκάνδρη . . .
σημειωτέον καὶ τὰ περὶ τῶν θεραπαινῶν. ἄλλαι μεν γὰρ ἐν Ἰλιάδι,

123. κλισίην.

Diple fuisse videtur, quod nunc κλισίην, v. 136 contra κλισμὸν Helenae sellam dixerit. cf. schol. in HM: κλισίην ὃν ἀλλαχοῦ δι' ἑτέρων κλισμὸν ὀνομάζει et ad v. 136 Dind. praef. LII: ἣν ἄνω (123) κλισίην εἶπε, τοῦτον νῦν κλισμὸν καλεῖ. H.

134. νήματος ἀσκητοῖο βεβυσμένον.

†) σημειοῦνταί τινες, ὅτι τὸ εἰς τὴν νῆσιν εὔθετον μήρυμα ἐρίου νῆμα εἶπεν HM.

cf. F. Ar. Θ 221.

139. οἵ τινες οἵδε
ἀνθρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ;

*) [ἡ διπλῆ ὅτι τὸ εὐχετόωνται ἀντὶ τοῦ] καυχῶνται V. (cod. habet imperfectum) cf. L. Ar. 147. § 468. Certe addidit: καὶ ὅτι ἐλλείπει ἡ εἰς, ἵν' ᾖ εἰς ἡμέτερον δῶ. cf. F. Ar. p. 26.

158. ἀλλὰ σαόφρων ἐστί, νεμεσσᾶται δ' ἐνὶ θυμῷ
ὧδ' ἐλθὼν τὸ πρῶτον ἐπεσβολίας ἀναφαίνειν
ἄντα σέθεν, τοῦ νῶϊ θεοῦ ὣς τερπόμεθ' αὐδῇ.

*) ἀθετοῦνται στίχοι γ' ὡς περιττοὶ καὶ ὑπὸ νέου παντάπασι λέγεσθαι ἀπρεπεῖς· καὶ τὸ νεμεσσᾶται ἀντὶ τοῦ αἰδεῖται οὐχ Ὁμηρικῶς. καὶ αἱ ἐπεσβολίαι δὲ γέλοιαι. ὅθεν Ζηνόδοτος μεταποιεῖ „ἐπιστομίας ἀναφαίνειν". ἄλλως τε οὐδὲ συμβουλευσόμενος τῷ Μενελάῳ πάρεστιν, ἀλλ' „εἴ τινα οἱ κληηδόνα πατρὸς ἐνίσποι (317) HMQR.

Perturbatum sententiarum ordinem sic fere restituendum puto. Pro cod. στίχοι ε' recte Dindorfius mutavit γ', nam tot modo abesse possunt. Ceterum etiam Didymus tres, non quinque versus expunctos esse tradidit. cf. in H.

ἄλλαι δὲ νῦν· οὐ γὰρ εὐπρεπὲς τὰς μετεχούσας τοῦ ἁμαρτήματος ἐπιτρέπειν συνεῖναι τῇ γυναικί. MQR.

Respicit scholion ad Γ 144 ubi Αἴθρη et Κλυμένη Helenam prosequuntur. Talia chorizontes opponere solebant, quos Ar. saepius refutavit. Fortasse etiam nostrum scholium ex Ar. adnotatione manavit. Ar. legit ἅμ' Ἀδρήστῃ, alii ἅμα δρήστῃ.

162. *ἐέλδετο γάρ σε ἰδέσθαι.*
†) *Ζηνόδοτος „ὄϊετο“ κακῶς.* H.

192. *οἷσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν.*
Aristarchus expunxit. cf. in H. *Ἀρίσταρχος ἀθετεῖ.*

206. *τοίον γὰρ καὶ πατρὸς.*
*) [*ἡ διπλῆ ὅτι τὸ τοίον*] *ἀντὶ τοῦ τοιούτου, οὐχ, ὡς οἱ γλωσσογράφοι, πάντως ἀγαθοῦ.* H. cf. Ar. ad *Ω* 164. Eust. 1492, 9. De glossographis vide L. Ar. 36. cf. B ad *H* 231.

228. *Πολύδαμνα.*
†) *κύριον ὄνομα ἡ Πολύδαμνα κατὰ Ἀρίσταρχον.* Q.

231. *Παιήονός εἰσι γενέθλης.*
†) *Παιήων ἰατρὸς θεῶν, οὐχ ὁ αὐτὸς τῷ Ἀπόλλωνι, ἀλλὰ κεχωρισμένος· παρὰ μέντοι τοῖς νεωτέροις ὁ αὐτὸς νομίζεται εἶναι. καὶ Ἡσίοδος δὲ μάρτυς ἐστὶ τοῦ ἑτέρου εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων „εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσαι ἢ καὶ Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν.“* MTV.

cf. L. Ar. 179. Quod in BHQ Aristarchum legisse traditum est: *ἰητρὸς δὲ ἕκαστος, ἐπεί σφισι δῶκεν Ἀπόλλων ἰᾶσθαι· καὶ γὰρ Παιήονός εἰσι γενέθλης,* huic observationi repugnat omnique fide destitutum est. Monet Lehrsius l. c. Tamen La Roche p. 73 lectionem ut Aristarcheam adnotavit. Ex schol. in V. ad *O* 262 sequitur, Zenodotum Mallotem Paeeonem falso pro Apolline accepisse. cf. etiam Eust. 1014, 60.

240. *πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι . . .*
ὅσσοι Ὀδυσσῆος . . . εἰσιν ἄεθλοι.
†) *ἰδίως τὸ πάντα ἐπήνεγκε τῷ ὅσσοι τὸ γένος ἀλλάξας.* Q.
Fuisse videtur Ar. *διπλῆ πρὸς τὸ σχῆμα.* cf. F. Ar. 32. *λ* 517. *θ* 214. *μ* 75. *κ* 212. *ρ* 266.

244. *αὐτόν μιν πληγῇσιν . . δαμάσσας.*
†) *δύο ἰσοδυναμοῦσαι ἀντωνυμίαι ἀντὶ τῆς μιᾶς παραλαμβάνονται* VT. cf. ad *δ* 118.

248. δέκτῃ, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν.

†) ὁ κυκλικὸς τὸ Δέκτῃ ὀνοματικῶς ἀκούει, παρ' οὗ φησι τὸν Ὀδυσσέα τὰ ῥάκη λαβόντα μετημφιάσθαι. ὃς οὐκ ἦν ἐν ταῖς ναυσὶ τοιοῦτος οἷος Ὀδυσσεὺς ἀχρεῖος. Ἀρίσταρχος δὲ δέκτῃ μὲν ἐπαίτῃ, τὸ δὲ, „ὃς οὐδὲν τοῖος ἔην" τῷ ἐναντίῳ τὸ ἐναντίον, ὅς οὐκ ἦν τοιοῦτος (ὁ Ὀδυσσεὺς) ἀλλ' ἐνδοξότατος καὶ μεγαλοπρεπέστατος, (ἴκελος δὲ ἐπαίτῃ) HMQT.

M praeterea habet: τὸ δὲ — δεν παρέλκει, quod item ad Α 412. 244. Ar. adnotavit.

Aristarchi interpretationem vocabuli δέκτῃ praeterea habent schol. in E. Apoll. l. h. 57, 16. Eust. 1494, 55. cf. L. Ar. 153.

249. οἱ δ' ἀβάκησαν.

†) ἡ λέξις τῶν ἅπαξ εἰρημένων ἐστίν V.

Has Ar. adnotare solebat contra chorizontes, quod Homerus et in Iliade et in Odyssea iis usus sit cf. Α 147. Apoll. 2, 16 l. h. Eust. 1494, 59.

254. μὴ μὲν πρὶν Ὀδυσῆα μετὰ Τρώεσσ' ἀναφῆναι
πρίν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ' ἀφικέσθαι.

Diple fuit propter constructionem adverbii πρίν cf. HMQT: ἔστιν ὅμοιον τῷ „τὴν δ' ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν" (Α 29) καὶ „οὐδὲ ποτ' ἐκπέρσει, πρίν μιν κύνες ἀργοὶ ἔδονται". (Σ 283). cf. ad Σ 283. γ 117.

285—289.

ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
Ἄντικλος δὲ σέ γ' οἶος ἀμείψασθαι ἐπέεσσιν
ἤθελεν· ἀλλ' Ὀδυσσεὺς ἐπὶ μάστακα χερσὶ πίεζε
νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς,
τόφρα δ' ἔχ', ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη.

*) Ἀρίσταρχος τοὺς ε' ἀθετεῖ, ἐπεὶ ἐν Ἰλιάδι οὐ μνημονεύει Ἀντίκλου ὁ ποιητής HQ. Idem Didymus.

287. ἀλλ' Ὀδυσσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν.

†) ἐπεπίεζε τὴν μάστακα, ὅ ἐστι τὸ στόμα, ἀπὸ τοῦ μασᾶσθαι B.

Sic interpretatus est Ar. vocabulum ad *I* 324 contra glossographos, qui *ἀκρίδα* explanabant.

295. *ὕπνῳ ὕπο γλυκερῷ τερπώμεθα.*
*) [ἡ διπλῆ ὅτι] δοτική ἐστιν ἀντὶ γενικῆς H.
cf. *Λ* 121. *Σ* 11. *Τ* 62. F. Ar. p. 23.

304. *Ἀτρείδης δὲ καθεῦδε.*
Fuit diple periestigmene propter Zenodoti lectionem *δ' ἐκαθεῦδε.* cf. *γ* 402.

312. *τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε;*
*) [ἡ διπλῆ] πρὸς τὴν ἑρμηνείαν, [τίπτε] (τί ποτέ) σε χρειὼ ἤγαγε δήμιον ἢ ἴδιον; H.
cf. *γ* 14.

317. *κληηδόνα πατρὸς ἐνίσποις.*
*) [ἡ διπλῆ ὅτι] λείπει ἡ περὶ, ἵνα ᾖ, εἴ τινά μοι φήμην περὶ τοῦ πατρὸς ἐνίσποις Q.
cf. F. Ar. 26.

322. *τοὔνεκα νῦν τὰ σὰ γοῦναθ' ἱκάνομαι, αἴ κ' ἐθέλησθα.*
*) [ἡ διπλῆ ὅτι τὸ ἱκάνομαι] ἀντὶ τοῦ ἱκάνω· ἡ δὲ λέξις ἀντὶ τοῦ ἱκετεύω. BQ.
Sic Ar. ad *Χ* 123. Apoll. l. h. 90, 33. *γ* 92. *ζ* 176.

353. *οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.*
†) βούλεται μὲν λέγειν θυσιῶν· ἀσαφέστερον δὲ εἴρηται· διὸ Ζηνόδοτος ἠθέτει. ποῖαι γάρ, φησὶν, ἐγένοντο ἐντολαί; EHPQ.
Aristonici verba non sunt, nam nunquam Zenodotum ipsum loquentem induxit, sed certe de illius athetesi dixit.

366. *Εἰδοθέη·*
Diple periestigmene, quod Zenodotus pro *Εἰδοθέη* scripsit *Εὐρυνόμη* cf. in EHQ.

368. *αἰεὶ γὰρ περὶ νῆσον ἀλώμενοι ἰχθυάασκον.*
Diple fuit contra chorizontes, qui opponebant, solum in

Odyssea heroes piscibus vesci, non in Iliade. Contra hos Aristarchus recte demonstravit, quaedam heroibus cognita quidem fuisse, quibus Homerus heroas utentes non faciat. Fortasse hoc etiam Ar. obtendit, quod Homerus ipse dicit: *ἔτειρε δὲ γαστέρα λιμός* et schol. in B affert: *ἀλλαχόσε οὐ λέγει ὁ Ὅμηρος ἐσθίειν τοὺς Ἕλληνας* (l. *ἥρωας*) *ἰχθύας· νῦν δέ φησι τούτους ἀγρεύειν ἰχθύας διὰ τὸ τείρεσθαι ὑπὸ τοῦ λιμοῦ.* cf. ad *Π* 747.

370. *ἡ δ' ἐμεῦ ἄγχι στᾶσα ἔπος φάτο, φώνησέν τε.*

Fuit diple periestigmene, quod Zenodotus legit: *ἡ δέ μοι ἀντομένη* EH. Tunc etiam reliquam versus partem aliter scribere debuit, velut *ἔπεα πτερόεντα προσηύδα,* vel *ἔπεα πτερόεντ' ἀγόρευεν,* ut monet Duentzerus p. 133.

379. *ἀλλὰ σύ πέρ μοι εἰπέ.*

†) *Ζηνόδοτος ἔειπε κακῶς· τὴν διαφορὰν γὰρ ἠγνόησεν* H (sc. imperativi, cuius una forma est *εἰπέ,* et indicativi, cuius duplex, *εἶπε* et *ἔειπε* cf. *δ* 468. Eust. 1499, 50. 1410, 61.

386. *Ποσειδάωνος ὑποδμώς* (Proteus).

*) [*ἡ διπλῆ ὅτι*] *παρέλκει ἡ ὑπό* EQ.

cf. ad *Z* 19, uti hic versus citatur in eadem interpretatione vocabuli *ὑφηνίοχος.* L. Ar. 108. *γ* 195. 422. *δ* 672.

388. *λελαβέσθαι.*

*) [*ἡ διπλῆ πρὸς τὸν*] *ἀναδιπλασιασμόν, ὡς τετυπέσθαι.* E.

Notare solebat Ar. eas formas, quae reduplicatione ponuntur. cf. F. Ar. 11 et usus est substantivo *ἀναδιπλασιασμόν* ad *Z.* 50.

402. *μελαίνῃ φρικὶ καλυφθείς.*

†) *τῇ ἐπιγενομένῃ μελανίᾳ πόντῳ* (corr. Lehrs Ar. p. 89 pro *ἐν τῷ*) *ἐκ τῆς ἐπιπολαίου κινήσεως τῶν ὑδάτων* V. Idem EH. qui addunt: *κατὰ τὰς ἀρχὰς τῶν ἀνέμων τοῦ πνεῖν.* Ex Ar. fluxit cf. ad *Φ* 126. L. Ar. 89. Alii interpretati sunt *ψύχος.* Apoll. l. h. 165, 16.

413. *λέξεται ἐν μέσσῃσι.*

*) [*ἡ διπλῆ ὅτι τὸ λέξεται*] *ἀντὶ τοῦ κοιμηθήσεται, ἀπὸ τοῦ λέχους* BQ.

cf. L. Ar. 147. δ 451.

416. αὖθι δ' ἔχειν.

*) [ἡ διπλῆ ὅτι ἀπαρεμφάτῳ χρῆται ἀντὶ προστακτικοῦ, ἔχειν] ἀντὶ τοῦ ἔχετε. PQ.

cf. F. Ar. 14. α 291 et locos ibi collatos.

419. ἐχέμεν.

*) [ἡ διπλῆ ὅτι] πάλιν ἀντὶ τοῦ ἔχετε Q.

cf. ad v. 416.

423. cf. not. 3.

429. δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ.

In H hoc est scholion: ἄριστον. τοῦ Ἀριστάρχου· σημειοῦνταί τινες, ὅτι δόρπον τὸ δεῖπνον. Hoc nunquam Aristarchus docuit. Sed Zenodotus δεῖπνον et δόρπον promiscue posuit cf. Δ 86, 730. Fortasse etiam nostro loco, cui Δ 730 simillimus est, pro recto δόρπον falsum δεῖπνον legit, et scholiasta contorsit Aristonici verba, quae sic fere restituenda sunt: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει δεῖπνον· δόρπον δὲ λέγει τὴν ἑσπερίνην τροφήν· εὐθέως γὰρ κατακοιμῶνται. Eust. 1503, 53: καὶ ὅρα, ὡς διασαφεῖται κἀνταῦθα ὁ δόρπος ἐν τῷ „ἐπῆλθεν ἀμβροσία νὺξ". τὸ γὰρ τηνικαῦτα ἔμβρωμα δόρπος λέγεται. cf. L. A. 127. α 124 et exempla ibid.

442. ὀλοώτατος ὀδμή.

*) [ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ὀλοωτάτη ὀλοώτατος εἴρηκεν] ὅμοιον τῷ „κλυτὸς Ἀμφιτρίτη (ε 422) καὶ θεσμὸς ἀϋτμή" καὶ „κλυτὸς Ἱπποδάμεια" (Β 742) P. cf. F. Ar. 31. β 214 et locos, quos ibi contuli.

451. λέκτο δ' ἀριθμόν.

ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῷ ὠΐσθη δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.

---

not. 3. 423. εἴρεσθαι, ὡς φθείρεσθαι. ἔστι γὰρ ἐνεστῶτος καὶ παρατατικοῦ P.

Fluxit fortasse ex Ar. altera pars, cf. F. Ar. p. 4. θ 290. ι 297.

*) ὅτι τῇ αὐτῇ λέξει παραλλήλως οὐκ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου κέχρηται. PQ.

cf. L. Ar. 147. De παραλλήλως vocabuli usu cf. Friedlaenderum ad *N* 276. δ 413.

468. ἀλλὰ σύ πέρ μοι εἰπέ.

γράφεται ἔειπε sc. Zenodotus cf. 379 propter quod διπλῆ περιεστιγμένη. Eust. 1410, 61.

477. πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο διιπετέος ποταμοῖο.

*) ὅτι τὸν Νεῖλον Αἴγυπτον ὀνομάζει, ὁ δὲ Ἡσίοδος ὡς ὢν νεώτερος Νεῖλον αὐτὸν οἶδεν ἤδη καλούμενον. HMPQT.

De aetate Hesiodi, Homero posterioris, etiam ad *K* 431 dictum est. cf. Lehrs, emend. schol. Hom. p. 454 Herod. et Ar. 232. *M* 22.

Fuit praeterea diple periestigmene propter Zenodoti lectionem διειπετέος cf. in EHQ. B ad *P* 263.

485. ταῦτα μὲν οὕτω δὴ τελέω, γέρον, ὡς σὺ κελεύεις.

*) [ἡ διπλῆ πρὸς τὴν ἐναλλαγὴν τοῦ χρόνου, ὅτι ἀντὶ τοῦ] τελέσω, ἐνεστὼς ἀντὶ μέλλοντος E.

cf. F. Ar. 6. *B* 286. *I* 156. γ 82 et exempla ibid.

498. Αἴας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισι.

Versum Zenodotus expunxisse videtur cf. in H: Ζηνόδοτος τοῦτον περιγράφει (corr. Dindorf., cod. ὃς γράφει. Duentzer: οὐ γράφει p. 13) ἀναγκαῖον δὲ καὶ αὐτὸν εἶναι διὰ τὸ λέγειν ὕστερον (551) Μενέλαον „σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε". La Roche ex hoc scholio corrupto colligere non potest, Zenodotum hunc versum expunxisse, nisi forte pro ὃς γράφει cum Duentzero οὐ γράφει scribis, vel cum Dindorfio περιγράφει, quibus non assentitur: nam si ita scriptum fuisset, verba sequentia ἀναγκαῖον δὲ εἶναι non cohaererent cum antecedentibus. Accedit quod hic versus amoveri non potest, nam ad eum referuntur quae Menelaus infra dicit: σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε, quod Zenodotum fugere potuisse non credit.

514. Μαλειάων.

*) [ἡ διπλῆ ὅτι νῦν μὲν πληθυντικῶς εἴρηκεν Μαλειάων]

ἀλλαχοῦ δὲ ἑνικῶς „περιγνάμπτοντα Μάλειαν" (ι 80) P. cf. γ 287 et locos ibi collatos.

522. *πατρίδος αἴης.*
†) σημειοῦνταί τινες, ὅτι ἐπὶ τῆς ὅλης χώρας νῦν τέθεικε τὴν πατρίδα, οὐκ ἐπὶ τῆς πόλεως PQ. cf. Eust. 1507, 45.

547. *τάφον ἀντιβολήσαις.*
†) τοῦ δείπνου τοῦ ἐν τῇ ταφῇ. BT. cf. γ 307.

553. *ἠὲ θανών. ἐθέλω δὲ καὶ ἀχνύμενός περ ἀκοῦσαι.*
ἐν ἁπάσαις ἠθετεῖτο· τοῦ γὰρ Πρωτέως εἰπόντος „δύο μοῦνοι ἀπόλοντο" (496) γελοίως τρίτον ζητεῖ ἀπολόμενον. HPQ. Didymi et Aristonici verba scholiasta coniunxisse videtur.

556. *τὸν δὲ ἴδον ἐν νήσῳ θαλερὸν κατὰ δάκρυ χέοντα.*
†) δῆλον κἀκ τούτου ὅτι ἐξῴκισται [ἐξωκεάνισται Heckerus] ἡ νῆσος· ἐπεὶ τί ἐκώλυε τὸν Μενέλαον οὕτως ἔχοντα περὶ τὸν Ὀδυσσέα ὡς καὶ πόλιν ὅλην χαρίσασθαι ἐθέλειν ναῦν πέμψαι καὶ σῶσαι τὸν φίλον; BPQT.

Eust. 1508, 60: ἐνταῦθα δέ τινες ἐκτοπισμὸν σημειοῦνται τῆς κατὰ τὴν Καλυψὼ νήσου. cf. L. Ar. 247. ε 55. 100. 277. ζ 8. 204. η 321. κ 1. 190. υ 383.

580. *ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρέτμοις.*
†) σημειοῦνταί τινες, ὅτι ὁμοίως ἐκείνῳ εἴρηται „ἑζόμενοι λεύκαινον ὕδωρ" (μ 172) P.
cf. F. Ar. *Β* 417. γ 486 et exempla ibid.

590. *τρεῖς ἵππους καὶ δίφρον ἐΰξοον.*
*) ὅτι οὐκ ἄν, εἰ τέθριππα ᾔδεσαν, τρεῖς ἵππους ἐδίδου τῷ Τηλεμάχῳ. νῦν δὲ ξυνωρίδα δίδωσι καὶ παρήορον, ὡς καὶ ἐν Ἰλιάδι χρώμενοι. BPQT. cf. L. Ar. 195.

602. *ἵππους δ' εἰς Ἰθάκην οὐκ ἄξομαι, ἀλλὰ σοὶ αὐτῷ ἐνθάδε λείψω ἄγαλμα.*
*) ὅτι τοὺς ἵππους ἄγαλμα εἴρηκεν [καὶ] ἐν Ἰλιάδι (δ 144) „βασιλῆϊ δὲ κεῖται ἄγαλμα". ὥσπερ δὲ ὁ Τηλέμαχος ἐνθάδε παραιτεῖται τοὺς ἵππους, οὕτως καὶ Ὀδυσσεὺς τοὺς ἐκ τῆς

κατασκοπῆς ἵππους Διομήδει παραχωρεῖ. [ὁ αὐτὸς ἄρα ποιητής.] PQ. Huc referendum est quod legitur in MQ ad γ 274: ἄγαλμα λέγει ὁ ποιητὴς πᾶν ἐφ᾽ ᾧ τις ἀγάλλεται, καὶ οὐ τὸ ξόανον et ad γ 438 in E: ἡμεῖς μὲν ἄγαλμα τὸ ξόανον, Ὅμηρος δὲ πᾶν δῶρον, ὃ βλέπει τις καὶ χαίρει καὶ ἐφ᾽ ᾧ ἀγάλλεται, ἄγαλμά φησιν.

cf. schol. in D ad Δ 144. Apoll. l. h. 6, 30.

613. δώρων δ᾽, ὅσσ᾽ ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται.

†) σημειοῦνται ὡς ἀκατάλληλοι P.

Fortasse notaverat Ar., hoc loco Homerum praeter consuetudinem κεῖται verbi singularem cum plurali neutrius ὅσσα κειμήλια construxisse. cf. N 28.

619. τεῒν δ᾽ ἐθέλω τόδ᾽ ὀπάσσαι.

*) [ἡ διπλῆ ὅτι τὸ τεῒν] ἀντὶ τοῦ σοί Δωρικῶς P. cf. Λ 201. Certe adiunxit: καὶ ὅτι τὸ ἐθέλω ἀεὶ ἀπὸ τοῦ ε ἄρχεται. cf. H 111.

624. περὶ δεῖπνον πένοντο.

†) σημειοῦνταί τινες ἀντὶ τοῦ ἐνήργουν HP.

cf. L. Ar. 73. β 334. ι 250.

630. τοῖς δ᾽ υἱὸς Φρονίοιο Νοήμων.

*) ὅτι καὶ ἐν Ἰλιάδι ἡ αὐτὴ εὐστοχία τῆς τῶν ὀνομάτων θέσεως. P.

cf. E 60. I 137. β 386.

634. ἐμὲ δὲ χρεὼ γίγνεται αὐτῆς.

†) Ἀττικῶς ἀντὶ τοῦ ἐμοί BP.

cf. F. Ar. 1. 23. γ 14.

644 not. 5.

---

not. 5. 644: θῆτές τε δμῶές τε.

σημειοῦνταί τινες, ὅτι διέστειλε τοὺς θῆτας ἀπὸ τῶν δμώων. θῆτες γὰρ λέγονται οἱ ἐλεύθεροι μέν, μισθῷ δὲ δουλεύοντες, δμῶες δὲ αὐτοὶ οἱ δοῦλοι, παρὰ τὸ δεδμῆσθαι, ὅ ἐστιν ὑποτετάχθαι. BEPQ.

cf. ξ 112. Eust. 1246, 11 ubi Aristophanis esse hanc interpretationem dicit. Apollo et Neptunus θητεύουσι μισθῷ ἐπὶ ῥητῷ Φ 444.

646. ἤ σε βίῃ ἀπηῦρα νῆα μέλαιναν.

*) [ἡ διπλῆ ὅτι] ἤλλακται πτῶσις σὲ ἀπηύρα νῆα ἀντὶ τοῦ σοῦ] ὁμοίως τῷ „ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Α 299) P. cf. F. Ar. p. 21.

661/2. ἀχνύμενος· μένεος δέ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.

†) ἐκ τῆς Ἰλιάδος (Α 103) μετηνέχθησαν οὐ δεόντως οἱ στίχοι HQ.

Fuerunt obeli cum asteriscis cf. ad Α 103.

671. Σάμοιό τε παιπαλοέσσης.

*) ὅτι τὴν Σάμην Σάμον εἶπεν BET.

cf. L. Ar. 233 cf. α 246 et exempla ibid.

672. ἐπισμυγερῶς.

*) [ἡ διπλῆ ὅτι] παρέλκει (δὲ) ἡ ἐπί BET. cf. γ 195. 422. δ 386. L. Ar. 109.

678. αὐλῆς ἐκτὸς ἐών.

†) σημειοῦνταί τινες πρὸς τὸ περὶ τῆς Ὀδυσσέως οἰκήσεως P.

685. ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν.

*) ὅτι τὰ ἰσοδυναμοῦντα παράλληλα τέθεικεν, ὕστατα καὶ πύματα P. cf. γ 317.

692. ἄλλον κ' ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη.

*) [ἡ διπλῆ ὅτι] τὸ ἐχθαίρῃσιν ἀντὶ τοῦ ἐχθαίροι ὡς (cod. καὶ) τὸ „ἰχθὺς, ὅς κε φάγῃσι" (Φ 127) ἀντὶ τοῦ φάγοι. BEPQ.

Restitui, quod P. habet ἐχθαίροι et φάγοι, ut in omnibus codicibus BEPQ. Dindorfius rectum male correxit. Videat F. Ar. p. 9: „in nostris scholiis fere ubique coniunctivus pro optativo esse dicitur." Ceterum schol. citatum Φ 127 habet: ἀντὶ τοῦ ὅς φάγοι ἄν, quod inspicere debebat.

702. ἐς Πύλον ἠγαθέην ἠδ' ἐς Λακεδαίμονα δῖαν.

*) [ἡ διπλῆ ὅτι] οὐδὲ ἐνταῦθα ἡ Κρήτη οὐδὲ Ἰδομενεὺς ὀνομάζεται HP.

Diple est contra Zenodotum cf. α 93. β 359. γ 313.

709. πουλὺν ἐφ᾽ ὑγρήν.
*) [ἡ διπλῆ ὅτι] ἐν σχήματι εἴρηται, ὡς θέρμος ἀϋτμή P. cf. F. Ar. 31. β 214 et exempla ibid.

714. ὄφρα πύθηται πατρὸς ἑοῦ.
*) [ἡ διπλῆ ὅτι] λείπει ἡ περί. HT.
cf. F. Ar. 26.

722. κλῦτε φίλαι· πέρι γάρ μοι . .
*) ὅτι ἐν ἀρχῇ λόγου ὁ γάρ, ὡς καὶ ἐν Ἰλιάδι (*H* 328) „πολλοὶ γὰρ τεθνᾶσι" H. cf. *H* 328.

726. ἐσθλὸν, τοῦ κλέος εὐρὺ καθ᾽ Ἑλλάδα καὶ μέσον Ἄργος.
*) περιττὸς ὁ στίχος· καὶ γὰρ προεῖπεν „ἣ πρὶν μὲν πόσιν ἐσθλόν" (724) καὶ οὐκ οἶδεν ὁ Ὅμηρος τὴν καθ᾽ ἡμᾶς Ἑλλάδα, ἀλλὰ τὴν Θεσσαλικὴν οὕτω λέγει καὶ Ἕλληνας τοὺς ἐκεῖθεν. HQ. cf. L. Ar. 227. F. Ar. *I* 395. α 344. δ 816.

771. ὅ οἱ φόνος υἷι τέτυκται.
*) ὅτι φόνος τῷ υἱῷ αὐτῆς ηὐτρέπισται· ἡ γὰρ οἱ ἀντὶ γενικῆς ἐστι. H. cf. Fr. 22.

783. πάντα κατὰ μοῖραν· ἀνὰ θ᾽ ἱστία λευκὰ πέτασσαν.
†) περιττὸς δοκεῖ οὗτος ὁ στίχος M.
Non legit Eust. cf. 1517, 44, omiserunt ADEGHL.

786. ἕσπερον.
*) [ἡ διπλῆ ὅτι ἀρσενικῶς] τὴν ἑσπέραν ἕσπερον εἶπεν. HGl. cf. ad α 422 et exempla ibid.

793. ἐπήλυθε νήδυμος ὕπνος.
Ex schol. in E apparet, fuisse diplam Ar. de vocabulo νήδυμος, pro quo nonnulli ἥδυμος legerunt, litteram ν ut ἐφελκυστικὸν ad ἐπήλυθε trahentes. cf. ad *B* 2. *K* 187. *Π* 54.

794. λύθεν δέ οἱ ἅψεα πάντα.
*) ὅτι οὕτως λέγει τὰς συναφὰς τῶν μελῶν, οὐ τὰ μέλη. (οὐκ οὖν ἂν εἴποι μηρὸν ἢ χεῖρα ἅψεα.) PQH.

797. Ἰφθίμη κούρη.
†) ἀμφιβάλλει Ἀρίσταρχος, πότερον ἐπίθετον τὸ ἰφθίμη, ἢ κύριον. P.

816. ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Certe obelo notavit Ar. cf. δ 726. *I* 395.

836. οὐ μέντοι κεῖνόν γε διηνεκέως ἀγορεύσω.
*) [ἡ διπλῆ πρὸς τὸ σχῆμα] ἀντὶ τοῦ τὰ περὶ ἐκείνου BEQPT. cf. F. Ar. 25.

845. Σάμοιό τ' παιπαλοέσσης.
*) ὅτι τὴν Σάμην Σάμον λέγει H.
cf. δ 671.

E.

7. *Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες.*

†) *ἐκ τῆς ἐν Ἰλιάδι Νέστορος εὐχῆς μετατέθειται* P.

Nestoris *εὐχή* est *O* 370 seq., sed ibi hic versus non legitur. Num Ar. alium textum ac nos hoc loco habuit?

13. *ἀλλ᾽ ὁ μὲν ἐν νήσῳ κεῖται κρατέρ᾽ ἄλγεα πάσχων.*

*) *οἰκειότερον ἐν Ἰλιάδι — B 721 — κεῖται περὶ Φιλοκτήτου. νῦν δὲ ἔδει τετιημένος ἦτορ εἶναι* H.

27. *παλιμπετὲς ἀπονέωνται.*

†) *εἰς τοὐπίσω στρεφόμενοι* P.

Hoc scholion inserui propter rectam vocabuli *πάλιν* interpretationem, quae est Ar. cf. L. Ar. 91.

30. *νύμφῃ εὐπλοκάμῳ εἰπεῖν.*

*) [*ἡ διπλῆ ὅτι*] *ἀπαρέμφατόν ἐστιν ἀντὶ προστακτικοῦ, τοῦ εἰπέ* PT.

cf. F. Ar. 14. *α* 291 et exempla ibid.

39. *πόλλ᾽, ὅς ἂν οὐδέ ποτε Τροίης ἐξήρατ᾽ Ὀδυσσεύς,*
εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληίδος αἶσαν.

†) *Τροίης δισυλλάβως, ἵνα τὴν χώραν ἀκούσωμεν* P.

cf. *λ* 510. *A* 129. Alii: *Τροίης ἀπὸ ληίδος.* Fluxisse videtur ex Ar., qui A 129 observavit, Troiam urbem apud Homerum *δισυλλάβως* legi *Τροίην*, adiectivum contra *Τροΐην τρισυλλάβως* de urbe aliqua Troiana.

44/46. *αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα, ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο.*

*) [*τούτοις τοῖς στίχοις παράκεινται ἀστερίσκοι ὅτι*] *μετάκεινται οὐ δεόντως ἐντεῦθεν εἰς τὰ περὶ τῆς Ἀθηνᾶς ἐν α' λεγόμενα·* (96—98) *καὶ εἰς τὰ περὶ Ἑρμοῦ, ἡνίκα ἀπ' Ὀλύμπου εἰς τὴν Τροίαν κάτεισιν* (Ω 341/2) HPQ.

50. *Πιερίην δ' ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ.*

†) *ἀναγκαῖον τὸ ἔπος, ὅτι ὄρος Ὄλυμπος θεῶν οἰκητήριον κατὰ τὸν ποιητήν.* HP.

cf. F. Ar. Ξ 226. L. Ar. 166. ad v. 55.

Pieriam enim, Olympi cacumen, transcendunt dii apud Homerum, iter facientes ex Olympo in terram.

54. not. 1.

55. *ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ' ἐοῦσαν.*

*) [*ἡ διπλῆ*] *πρὸς τὰ περὶ τῆς πλάνης, ὅτι πόῤῥω που ἐν ἐκτετοπισμένοις τόποις ἀορίστοις. φησὶ γοῦν τηλόθι που τὴν νῆσον εἶναι. καὶ πρὸς τὰ περὶ Ὀλύμπου σεσημείωται· εἰ γὰρ μὴ ἀπὸ Μακεδονίας ὁ θεὸς ἐξορμᾷ, ἀλλ' ἄνωθεν ἐξ οὐρανοῦ, οὐκ ἂν πολλὴν ἐπῆλθεν, ἕως εἰς τὴν νῆσον παραγένηται, ἀλλ' εὐθὺς βουληθεὶς κατὰ κάθετον γενόμενος* PQ. — „ut Minerva *T* 530". L. — cf. L. Ar. 166. 247. δ 556 et locos ibi collatos.

69. *ἡμερὶς ἡβώωσα.*

Notatum fuit vocabulum *ἡμερίς ἅπαξ εἰρημένον* v. schol. EPQ: *τὴν ἄμπελον εἶπεν· ἅπαξ δὲ ἐνταῦθα τὸ ὄνομα.* Eust. 1524, 25 habet: *ἐν δὲ ὑπομνήμασι παλαιοῖς τοῖς εἰς τὸ Ξ τῆς Ἰλιάδος* (an Ar.?) *εἶδος λεπτοφλοίου δρυὸς ἡ ἡμερὶς λέγεται.* Apoll. l. h. 84, 1 ut in scholio nostro interpretatur.

84. *πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.*

---

not. 1. 54. *τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς.* *προσέθηκέ τις οὐ δεόντως τὸν στίχον.* HPQ. Eust. 1522, 62: *παρένθετον οἴονταί τινες* (an Ar.?) *τὸν στίχον καὶ ὀβελίζουσιν ἤτοι ἀθετοῦσιν.*

*) ὁ στίχος οὗτος περιττός· ὁ γὰρ προκείμενος ἀρκεῖ. HP. cf. ad v. 158 et PQ ad v. 82.

97—98. εἰρωτᾷς μ' ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι
νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.

*) [ἀθετοῦνται οἱ στίχοι ὅτι] εὐτελεῖς κατὰ τὴν σύνθεσιν καὶ κατὰ τὴν διάνοιαν HP.

Porsonus, Buttmannus, Dindorfius hoc scholion, quod in P scriptum est interiore margine incipiens ob angustiam a v. 96 et desinens proxime ante 98, pertinere ad v. 94. 95. coniecerunt. Ego retinui scholii locum secutus Eust. 1525, 31: εἴπομεν δὲ ἀφελῶς, ἀκολούθως τοῖς παλαιοῖς, οἵ φασιν ὅτι εὐτελεῖς οἱ δύο στίχοι — 97. 98 — οὗτοι καὶ κατὰ συνθήκην καὶ κατὰ διάνοιαν.

100. τίς δ' ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
ἄσπετον, οὐδέ τις ἄγχι βροτῶν πόλις . .

*) σαφῶς ἐδήλωσεν Ὅμηρος, ὅτι ἔξω τῆς καθ' ἡμᾶς θαλάσσης ἡ τῆς Καλυψοῦς νῆσος τυγχάνει [διὸ ἡ διπλῆ]. BEPQT. cf. L. Ar. 247. Eust. 1525, 64. δ 556 et locos, quos ibi contuli.

105—111.
φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων
τῶν ἀνδρῶν, οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο
εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
οἴκαδ'. ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο,
ἥ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.

*) περιττοὶ οἱ στίχοι καὶ πρὸς τὴν ἱστορίαν μαχόμενοι. οὐ γὰρ καθ' ὃν καιρὸν ὑπὸ τῆς Ἀθηνᾶς ὁ ἄνεμος ἐκινήθη καὶ οἱ ἄλλοι ἀπώλοντο, Ὀδυσσεὺς τῇ νήσῳ προσηνέχθη· οἱ δὲ τελευταῖοι δύο ἐκ τῶν μετὰ ταῦτά (133—134) εἰσι μετενηνεγμένοι PQ.

Numeros 105—111 Maius posuit, Buttmannus probavit.

124. 125. not. 2.
130. not. 3.

132. *Ζεὺς ἔλσας* (*κεραυνῷ*).

†) *Ζηνόδοτος ἐλάσας γράφει. οἱ δὲ* (certe Ar.) *ἔλσας, ποιητικώτερον γάρ. ἔλσας μὲν τὸ συστρέψας, ἐλάσας δὲ τὸ ἐκ χειρὸς πλήξας.* HPQ. cf. L. Ar. 65. *η* 250.

Versibus 133—134 fuit appictus asteriscus cf. 105—111.

141. *ἑταῖροι.*

*) *ὅτι ἐπὶ τῶν συμπλεόντων τίθησι τὸ* (cod. *τοὺς*) *ἑταίρους πολλάκις* PQ. L. Ar. 116.

158. *πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.*

*) [*ὁ ἀστερίσκος ὅτι*] *ἐντεῦθεν εἰς τὸ ὀλίγον ἀνωτέρω* (84) *μετάκειται ὁ στίχος* H.

165. *αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρόν ἐνθήσω, μενοεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι.*

*) *ὅτι καὶ ἐπὶ δίψης ὁ λιμός* P.

188. *ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ' ἂν ἐμοίπερ αὐτῇ μηδοίμην.*

*) [*ἡ διπλῆ ὅτι*] *ὁ περ παρέλκει* PQ.

cf. F. Ar. 34. *ρ* 47.

202. *τοῖς* (Odysseus et Calypso) *ἄρα μύθων ἦρχε.*

*) *ὅτι ἑνὸς πρὸς ἕνα διαλεγομένου φησὶ „τοῖς ἄρα μύθων ἦρχεν"* P. cf. *P* 628. *Φ* 287. *η* 47.

205. *σὺ δὲ χαῖρε καὶ ἔμπης.*

†) *τὸ ἔμπης, ὃ καὶ ἔμπα λέγεται, ἐν τούτῳ τῷ τόπῳ ὅμως σημαίνει, ποτὲ δὲ ὁμοίως καὶ ἐπίσης, ὡς τὸ „ἔμπης εἰς γαῖάν*

---

not. 2. 124. 125. *Ἄρτεμις ἁγνὴ οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν.*

οὐδέποτε παρ' Ὁμήρῳ ἡ Ἄρτεμις ἄῤῥενας φονεύει· διό τινες ἀθετοῦσι τοὺς στίχους HPQ. cf. Eust. 1527, 47. An Aristarchus in horum numero fuit?

not. 3. 130. *περὶ τρόπιος βεβαῶτα.*

ὅτι (*καὶ*) *γενικὴ ἀντὶ δοτικῆς, ἀντὶ τοῦ περιβεβηκότα τῇ τρόπιδι.* BEPQT.

Fluxit fortasse ex Ar. cf. F. Ar. p. 21.

τε καὶ οὐρανὸν ἵκετ' αὐτμή" (Ξ 174). MS Barnes. cf. L. Ar. 142. Apoll. l. h. 67, 24. σ 354. τ 37. BL ad Ξ 1.

240. *περίκηλα.*

†) *Ἀρίσταρχος ὥσπερ ξηρὰ ἐκδεχόμενος, τὰ περικεκαυμένα ὑπὸ ἡλίου* P.

Chrysippus *περὶ κῆλα.*

244. *εἴκοσι δ' ἔκβαλε πάντα.*

*) [*ἡ διπλῆ ὅτι*] *παρέλκει τὸ πάντα, ὡς ἐν τῷ „τριχθὰ δὲ πάντα δέδασται"* (O 189) PQ.

cf. ad O 189. Σ 373. Ω 232. ϑ 258.

247. *τέτρηνεν δ' ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοισιν*
γόμφοισιν δ' ἄρα τήν γε καὶ ἁρμονιῇσιν ἄρασσεν.

†) *Ἀριστοφάνης τὸ αὐτὸ ᾤετο περιέχειν ἄμφω. διὸ τῷ μὲν σίγμα, τῷ δὲ ἀντίσιγμα ἐπιτίθησιν* BPQ. Vind. *ὁ δὲ Ἀρίσταρχός φησι διὰ τοῦ πρώτου τὸ μὲν τέλειον τῆς ἁρμογῆς μὴ εἶναι, ἀλλ', ὡς ἄν τις εἴποι, ἁρμόζοντα κατεσκεύασε, καὶ πρὸς ἄλληλα συγκαταγαγὼν ἐσκέψατο εἰ ἁρμόζει ἀλλήλοις· τῷ δὲ ἑξῆς συνέκλεισε καὶ κατεγόμφωσε. διὰ γὰρ τοῦ ἄρασσε τὸ τέλος τῆς ἁρμογῆς παρέστησε* BHMPQT. cf. L. Ar. 342.

252. *ἀραρὼν θαμέσι σταμίνεσσι.*

Quod habent cod. BEHQV ad interpretationem vocabuli *σταμίνες: τοῖς ὀρθοῖς ξύλοις, οἷς τὰ πηδάλια πήσσεται* Aristarchi est cf. Etym. M. 724. Nitzsch: Anmerkungen zur Odyssee II, 39. Eust. 1533, 27.

273—275.

ἄρκτόν θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει.

*) *ὅτι καὶ ἐν Ἰλιάδι* (Σ 487—89) *τὰ αὐτὰ περὶ τῆς Ἄρκτου καὶ τῶν ἄλλων ἀστέρων φησίν.* P.

277. *ποντοπορευέμεναι ἐπ' ἀριστερὰ χειρὸς ἔχοντα.*

*) [*ἡ διπλῆ*] *πρὸς τὸ περὶ τῆς πλάνης, ὅτι ὡς ἀπὸ τῶν περὶ τὸ Ἀτλαντικὸν πέλαγος φέρεται ἐπ' ἀνατολάς* H.

cf. L. Ar. 244. δ 556 et exempla ibid. Eust. 1536, 5.

281. *εἴσατο δ᾽ ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.*

Fuit interpretatio vocabuli *ῥινόν*, pro quo scholiastae in PQT Aristarchum legisse *ἐρινόν* dicunt: *ὁ Ἀρίσταρχος ἐρινὸν αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν γένους, ὡς ὁ δίφρος τὸ δίφρον.* Sed huic lectioni *ἐρινόν* repugnat Aristonicus, qui *Θ* 532: *εἴσατο δ᾽ ὡς ὅτε ῥινεός*, *M* 118 et *N* 45 autem *ῥινόν* legit. Iam vides etiam in Venet. A variam fuisse lectionem. Eust. 1536, 13 habet: *Ἀρίσταρχος δὲ ἐρινὸν γράφει αὐτὴν τὴν συκῆν, ἵνα φαίνηται τηλόθεν ἡ νῆσος, ὡσεὶ καὶ τοιαύτη τις συκῆ. εἴσατο.* Ar. notavit *Θ* 552, *M* 118, *N* 45 *ὅτι πολλὰ σημαίνει* et nostro loco quidem *ἀντὶ τοῦ ἐφάνη.* Similia habent schol. EPQT.

294. vid. not. 4.

310. *ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα*
Τρῶες ἐπέῤῥιψαν περὶ Πηλείωνι θανόντι.

Quod legitur in BPQ recentiorum est, qui fingunt, Achilli necati corpus ab Ajace ex proelio ablatum esse Ulixe tegente. Quod illi finxerunt ad similitudinem Iliadis *P* 719. Ar. contra hos observavit, Homerum, si de Achilli caede cecinisset, vix ita instituisse. cf. L. Ar. 175.

312. *λευγαλέῳ θανάτῳ.*

*) *ὅτι λευγαλέον θάνατον οἱ γλωσσογράφοι ἀποδεδώκασι τὸν ἐν ὑγρῷ, ἔκ τε τούτων καὶ ἐκ τῶν ὑπ᾽ Ἀχιλλέως ἐν τῇ πρὸς τὸν ποταμὸν μάχῃ λεγομένων. ἄμεινον δὲ ὀλέθριον, παρὰ τὸν λοιγόν* Q.

cf. L. Ar. 106. *β* 61. Ap. l. h. 107, 23.

337. *αἰθυίῃ δ᾽ εἰκυῖα ποτῇ ἀνεδύσετο λίμνης.*

†) *οὐκ ἐφέρετο ἐν τοῖς πλείοσι. Ἀρίσταρχος δὲ περὶ μὲν τῆς ἀθετήσεως διστάζει, γράφει δὲ διὰ τοῦ υ ὑπεδύσατο, ἐν*

---

not. 4. 294. *ὀρώρει δ᾽ οὐρανόθεν νύξ.*

οὐκ εἶπε ὀρώρει Ὀλυμπόθεν HT.

Fluxit fortasse ex Ar. adnotatione pertinente *πρὸς τὰ περὶ Ὀλύμπου* cf. L. Ar. 166 — *ι* 69.

δέ τισιν ἀνεδύσατο· ἔοικε δὲ ὁ στίχος ἐκ τῶν ὕστερον (352) *εἰρημένων ὑπό τινος παρεμβεβλῆσθαι „αὐτὴ δ' ἄψ ἐς πόντον ἐδύσατο κυμαίνοντα αἰθυίῃ εἰκυῖα"*. HPQ. Fluxit ex Didymo et Aristonico, cuius verba in altera scholii parte *ἔοικε — εἰκυῖα* servata videntur esse. cf. L. Ar. 347.

341. *οὐ μὲν δή σε καθαφθίσει, μάλα περ μενεαίνων· ἀλλὰ μάλ' ὧδ' ἔρξαι.*

*) [*ἡ διπλῆ ὅτι τὸ μενεαίνων ἀντὶ τοῦ*] *προθυμούμενος· σημαίνει γὰρ ἑκάτερον ἡ λέξις· τὸ δὲ ὧδ' ἔρξαι ἀντὶ τοῦ οὕτως ἔρδε*, (H) *ἀπαρέμφατον ἀντὶ προστακτικοῦ* V.

cf. *Π* 491. Apoll. l. h. 111, 9.

346. *τόδε κρήδεμνον τανύσσαι.*

†) *τὸ τανύσσαι ἀπαρέμφατον διὰ τὸ βαλέειν* P.

cf. Herodianum ad *Ο* 159.

349. *ἄψ ἀπολυσάμενος βαλέειν εἰς οἴνοπα πόντον.*

*) [*ἡ διπλῆ ὅτι*] *πάλιν τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν χρῆται*. HPQ.

371. *κέληθ' ὡς ἵππον ἐλαύνων.*

*) [*ἡ διπλῆ ὅτι*] *οἶδε μὲν ὁ ποιητὴς τὸν κέλητα, οὐκ εἰσάγει δὲ τούς ἥρωας αὐτῷ χρωμένους, εἰ μὴ ἐξ ἀνάγκης ἐν τῇ Δολωνείᾳ τὸν Διομήδην* PQT.

cf. *Ο* 679. Eust. 1539, 31.

391. *καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο· ἡ δὲ γαλήνη.*

†) *Ἀρίσταρχος ἡ δὲ, ἄρθρον δεχόμενος τὸ ἡ· οἱ δὲ ἀντὶ τοῦ καὶ* H.

Scholion Didymi est, sed certe Ar. posuit diplam *ὅτι ἐξ ἐπαναλήψεως τὰ ἄρθρα λάμβανει.* cf. ad *Ο* 127 et Herod. ibid.

400. *ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας.*

†) *τὸ* (*δὲ*) *ἐγεγώνει ἀντὶ τοῦ εἰς ἀκοὰς ἐγένετο βοήσας τις* B. *ὥστε ἐξακουστὸν γενέσθαι βοήσαντά τινα* EV.

Fluxisse videtur ex Ar., qui ad *Θ* 223 diplam posuit *πρὸς τὸ γεγωνέμεν, ὅτι οὐ ψιλῶς ἐστι φωνεῖν, ἀλλ' ἀκουστὸν φθέγγεσθαι* cf. *ρ* 161. L. Ar. 100.

417. *εἰ δέ κ' ἔτι προτέρω παρανήξομαι.*

*) [*ἡ διπλῆ ὅτι τὸ προτέρω*] *ἀντὶ τοῦ εἴ που ἔμπροσθεν· καὶ περισσὸς ὁ κέ.* PT.

cf. *K* 469. *δ* 36. F. Ar. p. 8.

422. *κλυτὸς Ἀμφιτρίτη.*

*) *ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὡς τὸ „κλυτὸς Ἱπποδάμεια" ἀντὶ τοῦ κλυτή. καὶ ὅτι ἐν θαλάττῃ ὢν λέγει ἐξ ἁλός.* HPQE. cf. *δ* 442.

429. *παλιρρόθιον.*

†) *παλινόρμητον, εἰς τοὐπίσω φερόμενον* V. cf. L. Ar. 91. cf. *ε* 27. *ν* 5.

453. *τὸν δ' ἐσάωσεν ‖ ἐς ποταμοῦ προχοάς.*

*) *ἀντὶ ἀντωνυμίας τὸ ὄνομα· οὐ γὰρ εἶπεν εἰς τὰς ἑαυτοῦ προχοάς· ἡ διπλῆ οὖν παράκειται πρὸς τὸ τῆς ἑρμηνείας ἴδιον.* BEPQ. cf. BL ad *Ξ* 454.

459. *κρήδεμνον ἀπὸ ἕο λῦσε θεοῖο.*

Fuit diple periestigmene, quod Zenodotus legit *ἀπὸ ἑοῦ* cf. HP ubi sic corrigendum est. cf. ad *B* 239. *T* 384. *Y* 261 *η* 217.

467. *μή μ' ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση.*

*) [*ἡ διπλῆ ὅτι*] *οὐκ εἶπε θήλεια, ἀλλὰ θῆλυς ἀρσενικῶς, ὡς ποιητικώτερον* BQ. cf. ad *ν* 422.

477. *ἐξ ὁμόθεν πεφυῶτας ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης.*

*) [*ἡ διπλῆ ὅτι*] *πλεονάζει ἡ ἐξ πρόθεσις.* P. cf. F. Ar. 27. *Θ* 19.

†) *τὸ σχῆμα ἀντίπτωσις, ἵν' ᾖ, τὸν μὲν φυλίης, τὸν δ' ἐλαίης. ἢ στικτέον μετὰ τὸ πεφυῶτας, ἵνα ἐν τοῖς ἑξῆς λείπῃ τὸ ἦν ῥῆμα, ὁ μὲν φυλίης ἦν, ὁ δὲ ἐλαίης* PQ.

Fluxisse potest ex Aristonico aut ex Nicanore, ad quem alteram scholii partem malim referre. cf. Eust. 1547 et scholia ad *E* 245.

Z.

1. ὣς ὁ μὲν ἔνθα καθεῦδε.

*) [ἡ διπλῆ περιεστιγμένη ὅτι] Ζηνόδοτος [γράφει] ἐκάθευδε HP (cod. καθεῦδε, sed corrigendum est). cf. ad γ 402. Α 68. 611. Ο 716. Duentzer 60.

8. εἷσεν δὲ Σχερίῃ.

*) ὅτι Σχερία ὠνομάσθη ἡ τῶν Φαιάκων γῆ καὶ οὐ Κέρκυρα, καὶ ὅτι ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης. EPQ. cf. L. Ar. 244. ζ 204.

26. εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα.

†) τὰ φύσει λαμπρὰ (suppl. οὐ τὰ τότε λαμπρά). E. cf. L. Ar. 199. Apoll. l. h. 161, 20. ζ 58. 74.

Adnotare solebat Ar. haec epitheta apud Homerum nominibus quasi propria et ita firmiter adhaerentia, ut ne tum quidem divelli possint, si significatio eorum ab aliquo loco vel tempore aliena sit. cf. Fr. ad Γ 352 et exempla ibid.

33. ὄφρα τάχιστα ‖ ἐντύνεαι.

†) ἀντὶ ὑποτακτικοῦ τοῦ ἐντύνηαι, ὡς καὶ ἐπὶ τοῦ „ἐπεὶ ἄρ' κεν ἀμείψεται ἕρκος ὀδόντων“ (Ι 409) καὶ „ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν“ (ξ 400) P.

Verba non sunt Ar., nam nunquam his modorum nominibus: ὁριστικὴ, ὑποτακτικὴ, εὐκτική usus est, cf. F. Ar. p. 7, sed observationem Ar. esse puto. v. ζ 259.

37. ἐφοπλίσαι, ἥ κεν ἄγῃσιν.

*) [ἡ διπλῆ ὅτι τὸ ἄγῃσιν] ἀντὶ τοῦ ἄγοι P.

cf. F. Ar. 9. α 396. δ 692. ρ 385.

38. ζῶστρά τε καὶ πέπλους.

Notatum fuit vocabulum ζῶστρα ἅπαξ εἰρημένον. cf. schol. PQT.

42. Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ.

*) [ἡ διπλῆ ὅτι] εἰ μὲν πρὸς τὸν οὐρανὸν τὸ ὅθι φασὶ, νῦν (cod. Vind. 133 habet: νοεῖν, quod Karajan l. c. p. 299 praefert] οὐκ ἔχει καλῶς. οὐδὲ γὰρ ἐπὶ τούτου διστάζει [διστάσειεν ἂν L.] ὁ ποιητὴς λέγων, ὅθι φασίν· εἰ δὲ πρὸς τὸ καλούμενον οὕτως ὄρος, καλόν. EQ. cf. L. Ar. 166.

44. οὔτε χιὼν ἐπιπίλναται.

†) ἀχιόνιστον μὲν αὐτὸν ἀπὸ τῶν ἀνωτέρω μερῶν λέγει, ἀγάννιφον δὲ ἀπὸ τῶν κατωτέρω, τὸν μετὰ τὰ νέφη τόπον. BHPQT.

Sic explicuisse Aristarchum Lehrsio non dubium est. cf. Ar. p. 165. ADL ad Α 420.

45. πέπταται ἀνέφελος.

†) νεφελῶν χωρίς· ἡ γὰρ κορυφὴ ἡ τοῦ Ὀλύμπου ἐπουράνιος καλεῖται. ὁ δὲ οὐρανὸς ὑφ' Ὁμήρου ἀπὸ τῶν νεφελῶν ἕως τοῦ κατηστερισμένου τόπου συνωνύμως αὐτῷ τῷ κατηστερισμένῳ καλεῖται. EPQV.

cf. L. Ar. 166. Α 497.

50. βῆ δ' ἴμεναι διὰ δώμαθ'.

*) [ἡ διπλῆ ὅτι τὸ διὰ δώματα] ἀντὶ τοῦ διὰ δωμάτων. H.

cf. F. Ar. 21. Editiones habent κατὰ δώμαθ', quod est in domo. ABDFHIKLM διὰ, ex ras. NPS, κατὰ CGQRV.

52. ἡ μὲν ἐπ' ἐσχάρῃ.

*) [ἡ διπλῆ ὅτι ἀντὶ τῆς παρὰ, ἵν' ᾖ] παρὰ τῇ ἐσχάρᾳ V.

cf. Z 92. ζ 305. η 153.

54. cf. not. 1.

---

not. 1. 54. ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας.

57. *πάππα φίλ'.*

†) *πάτερ. ψελλιζομένη ἐστί τις φωνή, προσφώνησις φιλοφρονητικὴ νεωτέρου πρὸς πρεσβύτερον.* EP. cf. *Δ* 411. *I* 607. L. Ar. 152.

58. *ἵνα κλυτὰ εἵματ' ἄγωμαι.*

†) *οὐ τὰ τότε, ἀλλὰ τὰ φύσει. ὡς ἐπὶ τοῦ „φαεινὴν ἀμφὶ σελήνην“ (Θ 551) οὐ τὴν τότε, ἀλλὰ τὴν φύσει. καὶ ἐπὶ τοῦ „πλήθει δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα“ (Φ 218).* E.

cf. *ζ* 26. 74. Fuit Ar. *διπλῆ ὅτι ἄκαιρον τὸ ἐπίθετον.*

60. vid. not. 2.

74. *ἐσθῆτα φαεινήν.*

†) *οὐ τὴν τότε οὖσαν φαεινήν· ῥερύπωται γάρ· ἀλλὰ τὴν φύσει καθαράν.* EHPV. cf. *ζ* 58. 26. *Φ* 218.

76. *μήτηρ δ' ἐν κίστῃ.*

†) *ἅπαξ ἐνταῦθα ἡ κίστη.* PQV. Apoll. l. h. 99, 24.

83. *αἱ δ' ἄμοτον τανύοντο.*

*) [*ἡ διπλῆ ὅτι*] *ἐκ τοῦ παρακολουθοῦντος* [*τὸ*] *ἔτρεχον, ὡς ἐκεῖ „οἱ δὲ πανημέριοι σεῖον ζυγόν“* (*γ* 486) BP.

cf. *γ* 486 et locos ibi collatos.

86. *ἔνθ' ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ' ὕδωρ καλὸν ὑπεκπρορέει.*

*) *σημειωτέον τὴν ἐναλλαγὴν τῶν χρόνων, οὐ μὲν ἦσαν, οὐ δὲ ῥέει. πρὸς ὃ ἡ διπλῆ.* P.

98. *εἵματα δ' ἠελίοιο μένον τερσήμεναι αὐγῇ.*

*) *ὅτι καὶ* [*ἐν Ἰλιάδι?*] *τὰ τοιαῦτα τηρεῖ, τὸ μὲν γὰρ ἐν*

Notata fuisse videtur praepositio *μετὰ* pro *πρὸς* cf. schol. QT: *ἐρχομένῳ πρὸς τοὺς κλειτοὺς βασιλῆας.* E habet: *τὸ μετὰ ἀντὶ τοῦ εἰς*, quod, si ex Ar. fluxit, corrigendum est in *πρός* v. L. qu. ep. p. 88. Et adiunxit fortasse *ὅτι βασιλεῖς καὶ τοὺς κατὰ μέρος ἄρχοντας λέγει.* cf. *ϑ* 49. 390.

not. 2. 60. *καὶ δέ σοι αὐτῷ ἔοικε . . ἐόντα*
. . . εἵματ' ἔχοντα

σοὶ ἐόντα, ἀντίπτωσις H. Fluxit fortasse ex Ar. cf. Eust. 1551, 60.

ἡλίῳ ξηρᾶναι τερσῆναι λέγει, τὸ δὲ ἐν ἀνέμῳ ψῦξαι „τοὶ δ' ἱδρῶ ἀπεψύχοντο χιτώνων" (*Λ* 621) P.

cf. ad *Λ* 621. L. Ar. 127.

101. τῇσι δὲ Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς.

*) [ἡ διπλῆ ὅτι] μεταβαλὼν (vel potius μεταλαβὼν L.) τὸ „σφαίρῃ ταὶ δ' ἄρ' ἔπαιζον" (100) εἶπε „τῇσι δὲ Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς", πᾶσαν παιδίαν μολπὴν λέγων. οἱ δὲ νεώτεροι τὴν ᾠδήν. ὅτι δὲ οὐκ ᾖδεν ἡ Ναυσικάα, ἀλλ' ἐσφαίριζε, δηλοῖ τὸ „σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια" (115). BEHPQ.

cf. L. Ar. 138. F. Ar. *Α* 474. α 152. δ 19.

108. ῥεῖα τ' ἀριγνώτη πέλεται.

Ex Ar. ad *Π* 123 apparet, hic notatam fuisse formam femininam ἀριγνώτη pro ἀρίγνωτος, quod in recentiore sermone hoc adiectivum generis communis esse solet, ut ἀσβέστη pro ἄσβεστος. cf. F. Ar. 31.

122. θῆλυς ἀυτή.

†) οὐκ εἶπε θήλεια P. Vind. 133. cf. Karajan l. c. 296. p. F. Ar. 31, β 214 et exempla ibidem.

137. σμερδαλέος δ' αὐτῇσι φάνη.

Fuit diple periestigmene, quod Zenodotus legit ἀργαλέος, κακῶς cf. HP., alii λευγαλέος κακῶς.

144. λίσσοιτ', εἰ δείξειε πόλιν καὶ εἵματα δοίη.

†) περιττὸς ὁ στίχος· οὐ γὰρ περὶ τῆς διανοίας αὐτῆς διστάζει, ἀλλὰ πῶς παρακαλέσει, πλησίον σταίη ἢ ἀφεστηκὼς αὐτῆς. καὶ Ἀθηνοκλῆς δὲ ὑπώπτευσε τὸν στίχον HP.

Athenocles ἐν τῷ περὶ Ὁμήρου a Didymo ad *Ζ* 71 citatur cf. A. *Γ* 368. Eust. 1555, 58.

163. νέον ἀνερχόμενον.

*) [ἡ διπλῆ ὅτι τὸ νέον ἀνερχόμενον ἀντὶ τοῦ] νεωστὶ ἀνερχόμενον [ὡς τὸ „νέον ἡβώωντα" *Ι* 446) BPQ. cf. α 209 et exempla ibidem.

165. ἦ δὴ ἔμελλεν ἐμοὶ κακὰ κήδε' ἔσεσθαι.

*) ὅτι οὐκ οἶδεν ὁ ποιητὴς τὸ μέλλεν. Ἀττικῶν γάρ ἐστι τῶν μεταγενεστέρων. P. cf. L. Ar. 121. α 232 et locos ibi collatos.

167. ἐκ δόρυ γαίης.
†) σημείωσαι ὅτι καὶ τὸ δένδρον δόρυ καλεῖ E. cf. Apoll. l. h. 60, 7.

168. ὥς σέ, γύναι, ἄγαμαί τε τέθηπά τε.
†) σημειοῦνταί τινες, ὅτι τὸ μὲν ἄγαμαι ἀντὶ τοῦ θαυμάζω, τὸ δὲ τέθηπα ἀντὶ τοῦ ἐκπέπληγμαι PQV.
cf. L. Ar. 147. Apoll. 150, 28. β 67. κ 249. ψ 64. 211.

174. τελέουσιν πάροιθεν.
*) [ἡ διπλῆ ὅτι τὸ τελέουσι ἀντὶ τοῦ] τελέσουσιν BPT. cf. F. Ar. 6. γ 82 et exempla ibid.

176. σὲ . . . ἐς πρώτην ἱκόμην.
*) [ἡ διπλῆ ὅτι τὸ ἱκόμην ἀντὶ τοῦ] ἱκέτευσα V.
cf. X 123. Apoll. l. h. 90, 33. γ 92.

201. οὐκ ἔσθ᾽ οὗτος ἀνὴρ διερὸς βροτός.
†) ὁ ζῶν H. Sic Aristarchum interpretatum esse apparet ex scholio Didymi ad h. v. cf. L. Ar. 47. ι 43, ubi accuratius hac de re agam.

204. οἰκέομεν δ᾽ ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ.
*) ὅτι σαφῶς ἐνταῦθα ἐκτετοπισμένην που καὶ ἐσχάτην τὴν τῶν Φαιάκων χώραν ὑφίσταται, οὐ τὴν Κέρκυραν T. cf. L. Ar. 248, ζ 8.

218. στῆθ᾽ οὕτω ἀπόπροθεν.
†) δεικτικῶς, οὕτως ὡς ἔχετε· ὡς κἂν τῷ Ἥφαιστε, πρόμολ᾽ ὧδε (Σ 392) PMT.
cf. ad Σ 392, ubi citatur noster versus in interpretatione illius πρόμολ᾽ ὧδε.

221. ἄντην δ᾽ οὐκ ἂν ἔγωγε λοέσσομαι.
†) ἢ περιττεύει τὸ ἄν, ἢ τὸ λοέσσομαι ἀντὶ τοῦ λοεσσαίμην τέτακται P. cf. F. Ar. 8.

De virginum officio heroes lavandi certe fuit adnotatio Aristarchi, quod hic locus observationi eius repugnare videtur. cf. schol. in QT. *ταῦτα μάχονται τῷ ὑπὸ παρθένων ποιεῖν λουόμενον. λύοιτο δ' ἂν τῇ λέξει, προσέθηκε γὰρ „μετελθών“ οἷον ξένος ὤν. τάχα δ' οὐδ' ὅλως παρθένοι λούουσι. λέγεται γὰρ „τὸν δ' ἐπεὶ οὖν δμῳαὶ λοῦσαν“, ἀλλ' οὐχὶ κοῦραι· καὶ περὶ τῆς Ἥβης γὰρ ἀμφισβητεῖται εἰ παρθένος ἦν· καὶ ἡ Ἑλένη λούοιτ' ἂν Ὀδυσσέα.*

222. *κούρῃσιν ἐυπλοκάμοισι μετελθών.*
†) *ἀντὶ τοῦ ἐπελθών* V. L. qu. ep. p. 88. *ϑ* 47.

224. *χρόα νίζετο ἅλμην.*
*) [*ἡ διπλῆ*] *πρὸς τὴν φράσιν τὸν χρόα τὴν ἅλμην ἀπενίζετο.* Q.
cf. F. Ar. 20. Eust. 1560, 49.

244—45. *αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθε μίμνειν.*
†) *ἄμφω μὲν ἀθετεῖ Ἀρίσταρχος, διστάζει δὲ περὶ τοῦ πρώτου, ἐπεὶ καὶ Ἀλκμὰν αὐτὸν μετέλαβε* (corr. L. „transtulit ad sua“ pro cod. *μετέβαλε*) *παρθένους λεγούσας εἰσάγων „Ζεῦ πάτερ, αἲ γὰρ ἐμὸς πόσις εἴη“.* HQ.
cf. L. Ar. 340. *η* 311. Versus 245 asterisco notatus est in D. cf. La Roche p. 134.

256. *πατρὸς ἐμοῦ πρὸς δῶμα.*
*) *ὅτι ἐν πᾶσι φέρεται ἐμοῦ, ἀλλ' οὐκ ἐμεῦ. ὅμως ἐπί τινων* (M. Schmidt fortasse *ἐπιτιμῶν*!) *ὁ Ζηνόδοτος ἐπὶ τὸ χεῖρον μετατίθησι.* HQE. cf. *Ξ* 118, *Ω* 486, *α* 413.

258. *ἀλλὰ μάλ' ὧδ' ἔρδειν, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν.*
*) *ὅτι ἀντὶ τοῦ προστακτικοῦ τοῦ ἔρδε· τὸ δὲ οὐκ ἀπινύσσειν οὐκ ἀπίνυτος εἶναι, ὡς καὶ ἐν Ἰλιάδι (Ο 10) „κῆρ ἀπινύσσων“ τὸ κῆρ ἀπίνυτος ὤν.* QT.
cf. F. Ar. 14. *α* 291. *Ο* 10.

259. *ὄφρ' ἂν μέν κ' ἀγροὺς ἴομεν.*

*) [ἡ διπλῆ ὅτι] τὸ ἴομεν ἀντὶ τοῦ ἴωμεν· [συνέσταλται γάρ.] H. cf. F. Ar. 13. ζ 33.

261. καρπαλίμως ἔρχεσθαι.

*) [ἡ διπλῆ ὅτι] ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ τέθεικεν. H. cf. ζ 258.

275—88. καί νύ τις ὧδ᾽ εἴπῃσι κακώτερος ἀντιβολήσας·
τίς δ᾽ ὅδε Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν εὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῇ.
ἦ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν.
ἤ τίς οἱ εὐξαμένῃ πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἰ καὐτή περ ἐποιχομένη πόσιν εὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ᾽ ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ᾽ ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ᾽ ἄλλῃ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ᾽ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ᾽ ἀμφάδιον γάμον ἐλθεῖν.

*) ἀθετοῦνται στίχοι ιδ´ ἕως „ἀνδράσι μίσγηται" ὡς ἀνοίκειοι τῷ ὑποκειμένῳ προσώπῳ. — εἴρηται οὖν τοῦτο διὰ τῶν πρὸ αὐτῶν β´ στίχων, τῶν „ἀλεείνω φῆμιν ἀδευκέα". HQ.

290. πατρὸς ἐμοῖο.

Fuit diple periestigmene propter Zenodoti lectionem ἐμεῖο cf. schol. HQ. ζ 256.

293. τέμενος τεθαλυῖα τ᾽ ἀλωή.

*) [ἡ διπλῆ ὅτι] τέμενος λέγεται ἡ ἀποτετμημένη γῆ EV. cf. Σ 550. Z 194. L. Ar. 150.

*) [ἡ διπλῆ ὅτι] ἀλωὴ λέγεται [ἡ] δενδροφόρος γῆ. QV. cf. Φ 36. η 122.

298. ἴμεν ἐς πόλιν, ἠδ᾽ ἐρέεσθαι.

*) [ἡ διπλῆ ὅτι τὸ ἴμεν] ἀντὶ τοῦ ἴθι [καὶ τὸ] ἐρέεσθαι ἀντὶ τοῦ ἐρώτησον HV. cf. F. Ar. 14. α 291.

302. δώματα Φαιήκων . .
. . . ἀλλ᾽ ὁπότ᾽ ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή·
†) κεκύθωσιν ὅμοιον τῷ λελάχωσιν. προειπὼν δὲ δώματα ἐπήνεγκε δόμος, πρὸς ὃ ἡ διπλῆ. Q. cf. F. Ar. p. 11 not.

305. ἡ δ᾽ ἧσται ἐπ᾽ ἐσχάρῃ.
*) [ἡ διπλῆ ὅτι τὸ ἐπ᾽ ἐσχάρῃ] ἀντὶ τοῦ παρὰ (sic scribendum) ἐσχάρῃ. H. cf. Z 15. ζ 52. L. qu. ep. p. 87.

318. εὖ δὲ πλίσσοντο πόδεσσιν.
Notatum fuit vocabulum πλίσσοντο ἅπαξ λεγόμενον. v. HPQ.

H.

8. *γρηῢς Ἀπειραίη.*

*) ὅτι συνέστειλεν Ἰακῶς καὶ ἑξῆς „τήν ποτ᾽ Ἀπείρηθεν" (9). P.

cf. *I* 378. *Ξ* 25. *Π* 776. *μ* 27. 85.

13. *ἥ οἱ πῦρ ἀνέκαιε καὶ εἴσω δόρπον ἐκόσμει.*

Fuit diple periestigmene quod Zenodotus hunc versum expunxit v. HP: *ἀθετεῖ Ζηνόδοτος· ἤδη γὰρ εἶπε „δαῖε δέ οἱ πῦρ"* (7).

*) [ἡ διπλῆ] *διὰ τὴν διαφορὰν τοῦ εἴσω πρὸς τὸ ἔνδον.* HP. cf. L. Ar. 134.

*) [ἡ διπλῆ ὅτι δόρπον λέγει τὴν] *ἑσπερίνην τροφήν. δεῖ γὰρ νοεῖν, ὅτι ἑσπέρας εἰςῆλθεν ἡ Ναυσικάα* HPT. cf. L. Ar. 127. *α* 124. *β* 20. *δ* 61. *π* 2.

15. *πολλὴν ἠέρα χεῦε φίλα φρονέουσ᾽ Ὀδυσῆι.*

) ὅτι τῷ Ὀδυσσεῖ περιέθηκε σκότος, οὐ τοῖς Φαίαξιν, ὡς ἐν τοῖς ἑξῆς Ζηνόδοτος PQT. v. ad v. 41 et 140. Fortasse adnotavit etiam: *ὅτι ἀέρα τὴν σκοτίαν καλεῖ.* cf. schol. in *E* 14, *P* 644. 649. L. Ar. 102.

24. *καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος.*

†) *Ἀρίσταρχος μὲν ἀντὶ τοῦ ταλαίπωρος, τινὲς δὲ ἀντὶ τοῦ ξένος καὶ πόρρωθεν πεπερακώς, ἢ μακρόθεν ἀφιγμένος* PV. cf. Apoll. l. h. 149, 1.

25. *τηλόθεν ἐξ ἀπίης γαίης.*

*) ὅτι [ἀπίαν λέγει] τὴν πολὺ ἀφεστῶσαν γῆν, οὐ τὴν Πελοπόννησον, ὡς (οἴονται) οἱ νεώτεροι. EMPT. L. Ar. 227.

33. οὐδ' ἀγαπαζόμενοι φιλέουσι.

*) [ἡ διπλῆ ὅτι] τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. τὸ δὲ φιλέουσι μετὰ στοργῆς ξενίζουσι. BPT. cf. F. Ar. 2. δ 47. 322. σ 8. L. Ar. 147. δ 29.

36. τῶν νέες ὠκεῖαι ὡς εἰ πτερὸν ἠὲ νόημα.

*) [ἡ διπλῆ ὅτι] ἐντεῦθεν τὸ παροιμιῶδες „διέπτατο δ' ὥστε νόημα" BET [ἔκ τε τούτων καὶ τῶν κατὰ τὴν Ἰλίαδα „ὡς δ' ὅτ' ἂν ἀίξῃ νόος ἀνέρος" (O 80) συγκεῖται, οὐκ ὂν παρ' οὐδενὶ ποιητῇ]. cf. Ar. ad O 80.

40. ἐρχόμενον κατὰ ἄστυ διὰ σφέας.

*) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ δι' αὐτῶν PV. cf. F. Ar. 21.

41. ἥ ῥά οἱ ἀχλὺν κατέχευε.

*) [ἡ διπλῆ περιεστιγμένη ὅτι] Ζηνόδοτος ἥ σφισιν ἀχλὺν γράφει, οὐκ εὖ. ἐν γὰρ τοῖς ἑξῆς (143) φησιν „καὶ τότε δὴ ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ". HP. cf. v. 15.

47. τοῖσι δὲ μύθων ἦρχε.

*) ὅτι δύο ὄντων „τοῖσι" εἶπε· καὶ περισσὸς ὁ δέ P. cf. ε 202. P 628. Φ 287.

49. δήεις δὲ διοτρεφέας βασιλῆας.

*) [ἡ διπλῆ ὅτι] βασιλεῖς [καὶ] τοὺς κατὰ μέρος ἄρχοντάς φησιν. BPQT. cf. L. Ar. 115.

59. not. 1.

65. νύμφων ἐν μεγάρῳ.

---

not. 1. 59. ὑπερθύμοισι Γιγάντεσσιν.

ὡς ἔθνους τινὸς τῶν γιγάντων μέμνηται γενναίου καὶ ὑπερηφάνου. τὰ δὲ παρὰ τοῖς νεωτέροις οὐκ οἶδεν, οὐδ' ὡς ἦσαν ἐκτράπελοί τινες καὶ ὀφιόποδες, οἵους αὐτοὺς ἀναζωγραφοῦσιν, οὔτε ὡς Φλέγραν ᾤκησαν, οὔτε ὅτι θεοῖς ἐμαχέσαντο PQ. Fluxit fortasse ex Ar.

Notatum fuit vocabulum *νύμφων ἅπαξ εἰρημένον* nostro loco et *Ψ* 223. cf. schol. BEPQT quod errat contendens, non legi nisi in hoc Odysseae versu vocabulum.

79—80. *πόντον ἐπ' ἀτρύγετον, λίπε δὲ Σχερίην ἐρατεινήν,*
ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην.

*) *ὅτι ἑνικῶς τὰς Ἀθήνας* H. cf. *γ* 287. A ad *B* 498.

In HP praeterea legitur: *ὑποπτεύεται ὁ τόπος, ὡς καὶ Χαῖρίς φησιν ἐν Διορθωτικοῖς,* quod ex Didymo manasse videtur, qui citat hunc grammaticum ad *B* 865. *Z* 71. *I* 605. An suspectus fuit locus, quod Minerva non rediit in Olympum ut *ζ* 42?

103. *πεντήκοντα δέ οἱ δμφαὶ*
αἱ μὲν ἀλετρεύουσι, αἱ δὲ ἵστους ὑφῶσι.

Ex schol. PQ sequitur, ut fuerit Ar. diple *πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ δμωῶν αἱ μὲν . . αἱ δέ.* cf. F. Ar. p. 19.

104. *ἀλετρεύουσι.*

*) [*ὅτι ἤλλακται ὁ χρόνος ἀλετρεύουσι*] *ἀντὶ τοῦ ἠλέτρευον.* HP. cf. F. Ar. 4. *K* 364 ubi noster locus sic explanatur.

107. *καιροσέων δ' ὀθονέων.*

*) *ὅτι καὶ ἐπὶ ἐρίων ὀθόναι λέγεται* (cod. *λέγονται*) BHMPT.

122. *ἀλωή.*

†) *ἀλωὴ νῦν ἡ ἀμπελόφυτος γῆ. ἐῤῥίζωται δέ, πεφύτευται.* B. Alibi *ἡ δενδροφόρος γῆ.* cf. *Φ* 36. *ζ* 293.

126. *ἕτεραι δ' ὑποπερκάζουσιν.*

*) [*ἡ διπλῆ*] *πρὸς τὸ ἕτερον, ὅτι ἐπὶ δύο. ἐπὶ δὲ τοῦ τρίτου ἄλλας* (125) P. cf. *I* 313. *M* 93.

132. *τοῖ' ἄρ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα*

*) [*ἡ διπλῆ ὅτι κατὰ τοῦ οὐδετέρου τὸ πληθυντικόν*] *τοῖα* (cod. *τόσα*] *ἔσαν, ὡς „σπάρτα λέλυνται“* (*B* 135] H.

Observatum est, quod neutrum plurale cum verbo plurali coniunctum est. cf. F. Ar. 15.

137. σπένδοντας δεπάεσσιν ἐυσκόπῳ ἀργειφόντῃ,| ᾧ πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.

*) ἡ διπλῆ πρὸς τὸ ἔθος. καὶ ὅτι κοίτου ἀρσενικῶς φησι. P. cf. γ 334.

139. βῆ διὰ δῶμα.

*) [ἡ διπλῆ ὅτι ἀντὶ τοῦ] διὰ τοῦ δώματος P. cf. F. Ar. 21 et ad v. 40.

140. πολλὴν ἠέρ' ἔχων, ἥν οἱ περίχευεν Ἀθήνη.

*) ὅτι τῷ Ὀδυσσεῖ περιέχεεν, οὐ τοῖς Φαίαξιν, ὡς Ζηνόδοτος. HP. cf. v. 41. 15.

153. ἕζετ' ἐπ' ἐσχάρῃ.

*) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ παρ' ἐσχάρῃ. PT. cf. ζ 305. 52.

155. v. not. 2.

159. Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον, οὐδὲ ἔοικεν.

*) [ἡ διπλῆ ὅτι τὸ οὐ κάλλιον] ἀντὶ τοῦ οὐ καλόν. PQ. cf. F. Ar. 30. γ 125. 362. Eust. 1575, 64.

174. παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.

*) ἀθετεῖται τὸ ἔπος ὡς ἀσύμφωνον τῇ τοῦ Ὁμήρου συνηθείᾳ. οὐ γὰρ ποιεῖ τὰς τραπέζας ἀφαιρουμένας παρόντων τῶν δαιτυμόνων, ἀλλὰ μετὰ τὴν ἀπαλλαγήν. HPQT.

cf. schol. in V ad Ω 476 et Ar. ad Δ 262 ubi ἡ διπλῆ ὅτι διὰ παντὸς αἱ τράπεζαι παρέκειντο. Phaeaces nondum cubi-

---

not. 2. 155. ἥρως Ἐχένηος.

ὁ ποιητὴς πλάττει τοῦτο τὸ ὄνομα· ἀπὸ γὰρ τοῦ ἔχειν τὴν νῆα ἐκάλεσε τοῦτον Ἐχένηον E. Fluxit fortasse ex Ar. cf. β 386. γ 425. δ 630. Eust. 1575, 61: ὅτι τὰ πλείω τῶν Φαιακικῶν ὀνομάτων ναυτικὰ ἔκ τε νεῶν καὶ θαλάσσης εἰλημμένα.

tum iverunt, itaque Laodamas, cuius sellam Ulixes occupavit, mensam habet.

196. *πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι.*

†) *ἀντὶ τοῦ πρὶν αὐτόν. ὡς περὶ ἑτέρου λέγει* P.

197. not. 3.

217. *ἥ τ᾽ ἐκέλευσε ἕο μνήσασθαι ἀνάγκῃ.*

*) [*ἡ διπλῆ περιεστιγμένη ὅτι*] *Ζηνόδοτος ἑοῦ* (cod. male *ἕο*) *γράφει ἀντὶ τοῦ ἑαυτῆς.* [*τοῦτο δὲ σύναρθρον καὶ οὐχ ἁρμόζον τῷ λόγῳ*]. HP.

cf. *Β* 239. *Υ* 261. *Ω* 293.

222. *ὑμεῖς δ᾽ ὀτρύνεσθαι.*

*) *ὅτι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὅπερ ἀγνοῶν Ζηνόδοτος γράφει ὀτρύνεσθε* HP. cf. *Γ* 458.

238. *τίς πόθεν εἶς ἀνδρῶν; τίς τοι τάδε εἵματ᾽ ἔδωκεν;*

*) *ὅτι πρὸς τὸ τελευταῖον ἀποκρίνεται μόνον „τίς τοι τάδε εἵματ᾽ ἔδωκεν.* P.

250. *ἀργῆτι κεραυνῷ* ‖ *Ζεὺς ἔλσας*

γράφεται ἐλάσας P.

Hanc Zenodoti lectionem fuisse et ab Ar. vituperatam esse apparet ex schol. ad *ε* 132. cf. L. Ar. 65.

251—258. *ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,*
αὐτὰρ ἐγὼ τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης
ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ

---

not. 3. 197. *πείσεται ἅσσα οἱ αἶσα κατὰ κλῶθές τε.*

γενικόν ἐστι τὸ αἶσα, εἶτα εἰδικὸν τὸ κλῶθες, ὡς „ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον“ (*Α* 62). *τὸ μὲν γὰρ γενικόν, τὰ δὲ εἰδικά.* BPQT. cf. *Α* 62 ubi sic interpretatus est Aristarchus, et fortasse etiam hoc ex adnotatione eius manavit.

ναίει εὐπλόκαμος, δεινὴ θεός, ἥ με λαβοῦσα ἐνδυκέως ἐφίλει τε καὶ ἔτρεφεν ἠδὲ ἔφασκεν θήσειν ἀθάνατον καὶ ἀγήρων ἤματα πάντα. ἀλλ᾽ ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.

ἀθετοῦνται στίχοι η΄. ὕστερον γὰρ ταῦτα λέγεται· εἰ δὲ προείρητο, οὐκ ἂν ἐπαλιλλόγει. HP. cf. L. Ar. 438.

In M. obeli appicti sunt. Ad v. 251 ἀπέφθιθεν legitur in HP. ὡς κόσμηθεν, quod est lectio Aristarchi, cf. Ariston. ad *Π* 354: ὅτι οὕτως δεῖ γράφειν διέτμαγεν ὡς κόσμηθεν, ἵν᾽ ᾖ διετμάγησαν παθητικῶς. τὸ γὰρ διέτμαγον ἐνεργητικόν ἐστιν. cf. etiam schol. ad *Π* 507.

289. δύσετό τ᾽ ἠέλιος.

†) Ἀρίσταρχος γράφει δείλετο, ὅ ἐστιν εἰς δείλην ἐκλίνετο. πρὸ δυσμῶν γάρ, φησί, συνέτυχε τῇ Ναυσικάᾳ ὁ Ὀδυσσεύς HP.

cf. Eust. 1580, 17.

293. ὡς οὐκ ἂν ἔλποιο.

†) οὕτως Ὁμηρικὸν τὸ τῆς ἑρμηνείας. ἀντὶ γὰρ τοῦ ἔλποιτο H. cf. F. Ar. 8.

301. ἦγεν ἐς ἡμέτερον.

†) οὕτως ἡμετέρου. Ἀττικὸν δὲ τὸ σχῆμα ὡς ἐς διδασκάλου HP.

Fluxisse videtur ex Didymo et Aristonico cf. ad *β* 55.

311—316. αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐών, οἷός ἐσσι, τά τε φρονέων, ἅ τ᾽ ἐγώ περ,
παῖδά τ᾽ ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
αὖθι μένων· οἶκον δέ κ᾽ ἐγὼ καὶ κτήματα δοίην,
εἴ κ᾽ ἐθέλων γε μένοις· ἀέκοντα δέ σ᾽ οὔτις ἐρύξει
Φαιήκων. μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.

†) τοὺς ἓξ Ἀρίσταρχος διστάζει Ὁμήρου εἶναι. εἰ δὲ καὶ Ὁμηρικοὶ (h. e. etiamsi nihil continent quod a consuetudine sermonis et antiquitatis Homericae abhorreat L. Ar. 339) εἰκό-

τως αὐτοὺς περιαιρεθῆναί φησι. πῶς γὰρ ἀγνοῶν τὸν ἄνδρα μνηστεύεται αὐτῷ τὴν θυγατέρα καὶ οὐ προτρεπόμενος, ἀλλὰ λιπαρῶν; P.

321. *εἴ περ καὶ μάλα πολλὸν ἑκαστέρω ἐστ' Εὐβοίης* †) *ἐκτετόπισται τὰ τῆς πλάνης. τῆς γὰρ Σχερίας πόῤῥω φησὶ τὴν Εὔβοιαν. ἴδιον τοῦτο τῶν ἀπείρων τῆς Ἑλλάδος.* P. cf. L. Ar. 244. d 556 et locos ibi collatos.

Θ.

4. *τοῖσιν δ' ἡγεμόνευε.*

*) [ἡ διπλῆ ὅτι] τὸ τοῖσιν ἀντὶ γενικῆς H. cf. F. Ar. p. 22.

11. *δεῦτ' ἄγε, Φαιήκων ἡγήτορες.*

*) [ἡ διπλῆ ὅτι] ἰδίως ἐξενήνοχε. το γὰρ δεῦτε πληθυντικῶς φήσας τὸ ἄγε ἑνικῶς εἶπε. E. cf. γ 475.

12. *ὄφρα ξείνοιο πύθησθε.*

*) [ἡ διπλῆ ὅτι] ἐλλείπει ἡ περὶ, ἵνα ᾖ περὶ τοῦ ξείνου T. cf. F. Ar. p. 26.

16. *ἀγοραί τε καὶ ἕδραι.*

*) [ἡ διπλῆ ὅτι] ἀντὶ ἑνικοῦ τοῦ ἀγορά· προεῖπε γοῦν εἰς ἀγορὴν ἰέναι (5) καὶ „ἔνθάδε τέ σφ' ἀγορὴ καλὸν Ποσιδήϊον ἀμφίς“ (ζ 266). H. cf. γ 287 et exempla ibidem.

17. *θηήσαντο ἰδόντες.*

*) [ἡ διπλῆ ὅτι] σαφῶς νῦν τὸ ἐθηήσαντο ἀντὶ τοῦ ἐθαύμασαν· ἐπιφέρει γοῦν ἰδόντες. Q.

22. *δεινός τ' αἰδοῖός τε, καὶ ἐκτελέσειεν ἀέθλους πολλούς, τοὺς Φαίηκες ἐπειρήσαντ' Ὀδυσῆος.*

Nota fuit de Zenodoti athetesi versuum 22—23, qui in eo offendit, quod Ulixes unum modo certamen disci apud Phaeaces inierit, non multa. Crates *ἀέθλους* mire intellixit *τοὺς κατὰ Ἰθάκην πόνους* cf. schol. in HQV. *πληθυντικῶς εἶπε τὸν τοῦ δίσκου ἆθλον· Κράτης δὲ τοὺς κατὰ Ἰθάκην ἤκουσε πόνους*

QV. ἀθετεῖ Ζηνόδοτος· οὐ γὰρ πολλοὺς ἐτέλεσεν ἐν Φαιακίᾳ, ἀλλ' ἐδίσκευσε μόνον (186) HQ. cf. Eust. ad h. v. Duentzer p. 91.

29. ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων.

†) οὐ προσέθηκεν ἄρκτον καὶ μεσημβρίαν (ut Crates vult cf. ad β 1) ὅτι ἁπλούστερον οἱ ἀρχαῖοι διῄρουν τὸν κόσμον, εἴς τε ἀνατολὴν καὶ δύσιν T.

Fluxit ex Ar. qui ad *M* 239 posuit diplam, ὅτι δύο διαστάσεις οἶδεν Ὅμηρος κοσμικὰς ἀνατολὴν καὶ δύσιν. cf. L. A. 174.

38. θοὴν ἀλεγύνετε δαῖτα.

*) [ἡ διπλῆ ὅτι τὸ θοὴν] ἀντὶ τοῦ θοῶς, ὡς „λῦσεν ἀγορὴν αἰψηρήν" (β 257) HQ. [καὶ ὅτι] ἐκ τοῦ περὶ αὐτῶν εἰς τὸν πρὸς αὐτοὺς λόγον μετῆλθεν H.

cf. β 257. F. Ar. 30 et 16.

47. κῆρυξ δὲ μετ' ᾤχετο θεῖον ἀοιδόν.

*) [ἡ διπλῆ ὅτι] ἡ μετὰ ἀντὶ τῆς ἐπί· ᾤχετο ἐπὶ τὸν θεῖον ἀοιδόν Q. cf. *Α* 222. ζ 222.

75. νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος.

De Ar. adnotatione ad contentionem Ulixem inter et Achillem exortam cf. *Ι* 347. L. Ar. 176.

81—82. χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλάς.

†) ἐν ἐνίαις τῶν ἐκδόσεων οὐκ ἐφέροντο. διὸ ἀθετοῦνται H.

Verba composita esse videntur ex Didymo et Aristonico. cf. Nitzsch, Anmerkungen zur Odyssee II, 178.

122. ἐπέτοντο κονίοντες πεδίοιο.

*) [ἡ διπλῆ ὅτι ἐλ]λείπει ἡ διά, [ἵν' ᾖ διὰ πεδίου] Q. cf. F. Ar. 26.

142. αὐτὸς νῦν προκάλεσσαι ἰὼν καὶ πέφραδε μῦθον.

Hunc versum Ar. non legit cf. H: οὔτε Ἀρίσταρχος οὔτε Ἀριστοφάνης οὔτε Ζηνόδοτος ἐπίστανται τοῦτον τὸν στίχον.

153. *Λαοδάμα, τί με ταῦτα κελεύετε;*

†) *ἀπὸ ἑνικοῦ εἰς πληθυντικὸν μετέβη* E. Ad tales numerorum permutationes Ar. attendere solebat. cf. F. Ar. p. 15 sq.

154. *κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἤ περ ἄεθλοι.*

*) [ἡ *διπλῆ* ὅτι] *περιττὸς ὁ καί* H. cf. F. Ar. 34. cf. *α* 33. *κ* 471. *λ* 452. *ρ* 216.

163. *φόρτου τε μνήμων.*

†) *τοῦτό τινες σημειοῦνται πρὸς τὸ ἀγνοεῖν γράμματα τοὺς ἥρωας· τῇ γὰρ μνήμῃ φασὶ τὰ ἐγκείμενα κατέχειν διὰ τὸ ἀπείρως ἔχειν γραμμάτων. ὅθεν καὶ τοὺς Φοίνικας ἐμπόρους ὑπὸ τῆς χρείας αὐτῆς ἐπὶ τὴν τῶν γραμμάτων εὕρεσιν ἐλθεῖν* EQ. cf. L. Ar. 95.

186. *ἦ ῥα.*

Certe adnotatum fuit, vocabulum *ἦ* poni tantum post orationem peractam, vid. schol. in E, quod legitur etiam ad *E* 533 et Porphyrii est, qui idem docuit atque Aristarchus, sed plures exquirit vocabulorum *ἦ* et *φῆ* differentias. cf. L. Ar. 95. F. Ar. *Α* 528. *Υ* 114.

186. cf. not. 1.

189. *τὸν ῥα περιστρέψας ἧκε.*

*) [ἡ *διπλῆ*] *ὅτι ὁ δίσκος ἐκ μέσου σχοῖνον εἶχεν* EV.

192. *λᾶος ὑπὸ ῥιπῆς. ὁ δ' ὑπέρπτατο σήματα πάντων.*

Fuit asteriscus cf. ad *Ψ* 843, nostro loco *εὐλόγως ἐστὶν „ὑπέρβαλε σήματα πάντων“, πλείονες γὰρ δισκεύουσιν.*

214. *πάντα γὰρ οὐ κακός εἰμι μετ' ἀνδράσιν ὅσσοι ἄεθλοι*

†) *σημειωτέον, ὅτι τῷ ἆθλα οὐδετέρῳ ἀρσενικὸν ἐπήγαγε τὸ ὅσσοι* HQ. cf. *δ* 240.

---

not. 1. 186. *καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον. σὺν τῷ ἱματίῳ, ὡς εἶχεν* V. *σὺν αὐτῷ τῷ φάρει* B. Fortasse Ar. adnotavit, praepositionem *σὺν* omissam esse. cf. F. Ar. p. 25.

223. ἐριζέμεν οὐκ ἐθελήσω.

*) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ οὐ δυνήσομαι, ὡς τὸ „οὐδ' ἔθελε προρέειν" (Φ 366). QT. cf. Φ 366. γ 121. L. Ar. 148.

224. οὐδ' Εὐρύτῳ Οἰχαλιῆι.

†) ἡ Οἰχαλία πόλις Θεσσαλίας QV.

Ex Ar. fluxit, qui ad *B* 596 et 730 adnotavit, Eurytum regem esse Oechaliae, quae Thessaliae sit, non Euboeae ut apud recentiores. cf. L. Ar. 184.

246. οὐ γὰρ πυγμάχοι εἰμέν.

Fuit diple contra chorizontes, ὅτι προτάσσει τὴν πυγμὴν ὡς καὶ ἐν Ἰλιάδι „οὐ γὰρ πύξ γε μαχήσεαι οὐδὲ παλαίσεις". cf. ad Ψ 621.

251. ἀλλ' ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι, παίσατε . .

Fuit diple periestigmene propter Zenodoti lectionem παίσατον pro παίσατε, cf. in HQ. Ζηνόδοτος παίσατον εἶπεν, οὐ κακῶς. Aut delendum est οὐ, aut κακῶς in καλῶς mutandum est, ut sit οὐ καλῶς. Nam persaepe ob dualem cum plurali confusum Zenodotus vituperatur, cf. exempla a Friedlaendero collata Ar. p. 15. Nitzsch l. c. p. 204.

258. αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν.

†) οἱ μὲν τὸ πάντες κατὰ παρολκὴν φασι κεῖσθαι, ὡς καὶ ἀλλαχοῦ τὸ „δέκα πάντα τάλαντα" (*T* 247) καὶ τὸ „οἱ δ' ἐννέα πάντες ἀνέσταν" (*H* 161) E.

Sic interpretatus est Ar. cf. ad v. c. *H* 161. Σ 373. Ω 232. ε 244.

260. λείηναν δὲ χορόν.

†) τὸ χωρίον, ἐν ᾧ ἔμελλον ὀρχεῖσθαι, χορόν ἐκάλεσεν BE. cf. ad Σ 590, ubi adiungitur: οὐ τὸ σύστημα τῶν χορευόντων.

264. πέπληγον.

Ar. de hac forma observationem v. apud Eust. 1596, 6: Ἀριστόνικος οὐ Σικελικὰ (sic enim Eust. esse vult et Ἰώνων) ταῦτα, ἀλλὰ ἀναδιπλώσεις Ἰακὰς βούλεται εἶναι κατὰ τὸ κε-

κάμω καὶ λελάβω. Fuit igitur Ar. diple *πρὸς τὸν ἀναδιπλασιασμόν.* cf. δ 388.

Demodoci cantum de Martis cum Venere amoribus in offensionem veterum grammaticorum incurrisse constat ex schol. ad Arist. Pac. 778: *σημειοῦται ταῦτα ὁ Μόχθος* (i. e. Apio, quem hoc cognomine appellatum esse prodidit Suidas) *πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν Ὀδυσσείᾳ Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν.* Scholiasta in HQT dicit: *ἀλλ᾽ οὐχ Ὁμήρου τὸ ἔγκλημα.* Quo magis dolemus, quod quid Ar. hac de re statuerit nobis non servatum est. Hoc unum ex scholiis ad Iliadem extricamus, Aristarchum non haesitasse ut chorizontes, quod nostro loco Venus Vulcani uxor est, cf. ad Φ 416: *λέγειν δὲ δεῖ, ὅτι οὐχ οἱ αὐτοὶ χρόνοι ἦσαν τῆς συμβιώσεως.*

271. *ἥλιος.*

†) *ἅπαξ εἴρηται ἥλιος· ἠέλιος γὰρ ἀεί φησιν Ἰακῶς, τὸ η εἰς ηε.* H.

274. *βῆ ῥ᾽ ἴμεν ἐς χαλκεῶνα.*

*) [*ἡ διπλῆ ὅτι*] *οὐκ οἶδεν ὁ ποιητὴς τὸν Ἥφαιστον ἐργαζόμενον ἢ ἐν Λιπάρᾳ τῆς Σικελίας τῶν Αἰολίδων νήσων, ἢ ἐν Λήμνῳ, ἀλλ᾽ ἐν Ὀλύμπῳ· καὶ γὰρ καὶ τὴν ἀσπιδοποιΐαν ἐκεῖ λέγει γεγενῆσθαι.* Q.

cf. Σ 369. L. Ar. 185.

277. *ἀμφὶ δ᾽ ἄρ᾽ ἑρμῖσιν.*

†) *τοῖς κλινοποδίοις· ἑρμὶς ὁ τῆς κλίνης ποῦς* BQV. Sic Ar. cf. Apoll. l. h. 77, 5: *ὁ δὲ Ἀρίσταρχός φησιν, ἑρμῖνας ἐκάλουν τοὺς πόδας τῶν κλινῶν, οὗτοι δὲ ἦσαν σφηνοειδεῖς τῇ κατασκευῇ· τῶν ἅπαξ εἰρημένων.*

283. *εἴσατ᾽ ἴμεν.*

†) *ὥρμησεν ἀπίεναι* Q. L. Ar. 148. ε 281.

289. *ἐρχομένη κατ᾽ ἄρ᾽ ἕζεθ᾽ . .*

†) *ἀντὶ τοῦ ἀορίστου· τὸ γὰρ ἐρχομένη* (corr. Friedlaender, codd. *ἐχόμενον*) *ἐνεστῶτος καὶ παρατατικοῦ* P. cf. F. Ar. 4. ι 297.

294. *οἴχεται ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.*

†) *Σίντιες ἐκαλοῦντο οἱ Λήμνιοι* EQ. Sic Ar. cf. Apoll. l. h. 141, 25. L. Ar. 234.

309. De Ar. interpretatione vocabuli *αἴδηλος* cf. ad χ 165.

312. *ἀλλὰ τοκῆε δύω.*

†) *Ἡσίοδος ἐκ μόνης τῆς Ἥρας γενέσθαι τὸν Ἥφαιστον. κἀκεῖνο δ᾽ ἱκανὸν „τόν τοι φίλος υἱὸς ἔτευξεν Ἥφαιστος"* (Ξ 338). T. sc. ut Hesiodus refutetur, nam Jovis et Junonis filius est apud Homerum cf. ad Ξ 335 ubi noster locus citatur. L. Ar. 185.

363. *ἡ δ᾽ ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος.*

†) *πόλις Κύπρου· ἀπὸ γενικοῦ εἰς τὸ εἰδικόν· ὁ δὲ ἀντὶ τοῦ γάρ, ἔνθα γάρ οἱ* H. Similis locus, quem Eust. 1600, 50 citat ad nostrum versum, est Θ 47: *Ἴδην δ᾽ ἵκανεν Γάργαρον,* ad quem v. Ar. cf. η 197. ι 39. 184. De commutatione vocabulorum *δέ* et *γάρ* F. Ar. 35, β 6 et locos ibid. collatos. Quod habet T ad v. 364: *καὶ δύο γενέσεις Χαρίτων* est Aristarcheum. cf. L. Ar. 180.

383. *ἦ μὲν ἀπείλησας . .*

†) *ἐπηγγείλω· „οὐδ᾽ ἠπείλησεν ἄνακτι"* (Ψ 863) H. Frustula sunt Ar. notae, qui ad locum citatum *ἠπείλησεν ἀντὶ τοῦ ηὔξατο* esse dicit. cf. Ι 682. Eust. pro *ἐκαυχήσω.*

390. *δώδεκα γὰρ βασιλῆες ἀριπρεπέες κατὰ δῆμον·*

Ex Ar. ad Υ 84 apparet, hic diplam fuisse, *ὅτι βασιλεῖς καὶ τοὺς κατὰ μέρος ἄρχοντας λέγει.* cf. L. Ar. 115. α 72. η 49. ξ 336.

452. *θερμὰ λοέτρ᾽, ἐπεὶ οὔ τι κομιζόμενός γε θάμιζεν, ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς.*

---

not. 333—342. *ἐν ἐνίοις ἀντιγράφοις οἱ δέκα στίχοι οὐ φέρονται διὰ τὸ ἀπρέπειαν ἐμφαίνειν. νεωτερικὸν γὰρ τὸ φρόνημα* H.

In Vind. 56: *ἐν ἐνίοις ἀθετοῦνται,* cf. la Roche p. 169. Preller in adnot. apud Dindorfium p. 386. Nitzsch ad v. 262 seq.

De dipla ab Ar. adpicta propter ἐπεί vocabuli significationem, non tantum quod, sed etiam postquam cf. ad α 2.

477. κῆρυξ, τῆ δή, τοῦτο πόρε κρέας.

†) τὸ τῆ ῥῆμα προστακτικόν ἐστι παρὰ ποιηταῖς εἰρημένον χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ BQ. Est ἀντὶ τοῦ λάβε cf. ad ι 347. Ξ 219.

483. ἥρῳ Δημοδόκῳ.

Fuit diple, ὅτι δισυλλάβως καὶ ἐν Ἰλιάδι ἥρῳ cf. ad *H* 453, ubi etiam noster locus notatur.

507. ἠὲ διαπλῆξαι κοῖλον δόρυ νηλέι χαλκῷ.

†) Ἀρίσταρχος διαπλῆξαι, ὡς ἀλλαχοῦ „τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοί" (Ψ 120). Eust. 1608, 16. διατμῆξαι, quod habent ACDEFGHIKLMPQSV, Zenodoto videtur deberi, cf. schol. Σ 34.

529. εἴρερον εἰςανάγουσι.

Notatum fuit vocabulum εἴρερον ἅπαξ εἰρημένον cf. in ET. Apoll. l. h. 64, 13.

546. ἀντὶ κασιγνήτου ξεῖνος.

Fuit diple ὅτι τὸ ἀντὶ κασιγνήτου ἀντὶ τοῦ ἴσος κασιγνήτῳ cf. ad Φ 75, ubi noster versus sic explanatur ab Ar. L. Ar. 114.

557. οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν.

†) τοῦτο φανερὸν ὅτι ἐκτετόπισται ἡ πλάνη. διὸ μὴ χρήζειν τὰς ναῦς τῶν κυβερνητῶν, ἀλλ' αὐτὰς τὸν πλοῦν ἐπίστασθαι T.

cf. ad δ 556 et locos ibid. collatos.

564—71. ἀλλὰ τόδ' ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτὲ Φαιήκων ἀνδρῶν εὐεργέα νῆα
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέι πόντῳ
ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλει ἀμφικαλύψειν·
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν.

*) ἀθετοῦνται· οἰκειότερον γὰρ ἐν τοῖς ἑξῆς, (ν 172 seq.) ὅταν ἴδωσι τὴν ναῦν ἀπολελιθωμένην ὑπὸ τοῦ Ποσειδῶνος [ὥστε ἀναμιμνήσκονται inserendum esse putat Friedlaenderus in Fleckeisenii Annal. tom. LXXVII p. 5] ἐκ τοῦ ἀποτελέσματος, ὥσπερ ὁ Κύκλωψ ὑπὸ τοῦ . . . . ἀναμιμνήσκεται καὶ ἡ Κίρκη „ἦ σύγ᾽ Ὀδυσσεύς ἐσσι“ (κ 330). καὶ ἐνταῦθα δὲ παλιλλογοῦνται (sc. οἱ στίχοι). εἰ δὲ ἔμαθε Ὀδυσσεὺς τὸν χρησμὸν, οὐκ ἂν αὐτοῖς ἐμήνυσε τὰ ὑπὲρ αὐτοῦ, οὐδὲ Ἀλκίνοος ἔπεμψεν αὐτὸν ὑπερβολῇ φιλοξενίας T. cf. ad ν 173. Obelos cum asteriscis his versibus appictos fuisse — sunt in M. cf. La Roche p. 179 — commemorat Eust. 1610, 46 et 1737, 59 easdem fere caussas afferens.

565. ὃς ἔφασκε Ποσειδάων᾽ ἀγάσασθαι ‖ ἡμῖν.

*) [ἡ διπλῆ ὅτι τὸ ἀγάσασθαι νῦν] ἀντὶ τοῦ φθονῆσαι B. cf. ν 173. L. Ar. 147.

581. ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο.

*) [ἡ διπλῆ ὅτι] σαφῶς ἐκ τούτου δηλοῦται ὅτι πηὸς [ὁ] (οὐ cod.) κατ᾽ ἐπιγαμίαν (cod. ἐπωνυμίαν, sed correxi secutus Apoll. l. h. 131, 22) οἰκεῖος (ἢ) [οὐχ ὁ] φίλος ἢ (corr. Friedlaenderus in Fleckeisenii annal. l. c. pro cod. ἀλλ᾽) ἑταῖρος, ὡς οἱ πολλοὶ τῶν γλωσσογράφων· ἐπιφέρει γοῦν ἀντιδιαστέλλων (584) „ἢ πού τις καὶ ἑταῖρος ἀνήρ“ ὁρισμὸν ποιῶν. T. cf. Eust. ad h. v.

I.

5—8. cf. not. 1.

19. ὃς πᾶσι δόλοισιν ‖ ἀνθρώποισι μέλω.

*) [ἡ διπλῆ ὅτι] παρεῖται ἡ διὰ καὶ ἡ δοτικὴ ἀντὶ αἰτιατικῆς κεῖται· διὰ δόλους γὰρ μέλω· ὅμοιόν ἐστι τῷ „σοὶ πάντες μαχόμεθα“ (*E* 875) τουτέστι διὰ σέ BHQ.

cf. F. Ar. 25. *E* 875. *τ* 378.

21. ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ.

†) σύνηθες αὐτῷ τὰ ὄρη χωρίζειν τῆς γῆς. προεῖπε γὰρ τὴν Ἰθάκην καὶ ἐπήγαγε περὶ τοῦ ὄρους H.

cf. ad *O* 193 ubi citatur hic versus, et notatus fuit propter Olympum montem cf. L. Ar. 166 „ne quis intelligat Olympum extra terram poni“.

24. Σάμη.

*) [ἡ διπλῆ ὅτι] τὴν Σάμην ἐν ἄλλοις Σάμον λέγει· „οἵ τε Ζάκυνθον ἔχον ἠδ' οἳ Σάμον ἀμφενέμοντο“ (*B* 634) HQ.

cf. Ar. ad *B* 634. L. Ar. 233. *α* 246.

33—35. ἀλλ' ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
ὣς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
γίγνεται, εἴ περ καί τις ἀπόπροθε πίονα οἶκον.

---

not. 1. Versus 5—8 obelis notati sunt in Q. et ex scholiis huius codicis apparet, nonnullos grammaticos hinc mollitiem Ulyssi criminatos esse. Fortasse hanc ob causam expuncti sunt. cf. Prellerum apud Dindorfium p. 404 not.

Versus 33—35 obelis notati in Q. — Sengebuschius l. c. p. 13 athetesin a versu 29 ad versum 36 patuisse putat, ita ut versui 28 subiungatur v. 37. Itaque α 14—15 asteriscis notatos fuisse contendit. cf. Nitzsch l. c. III, 12. La Roche obelos ad v. 34—36 pertinere censet.

39. *Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν Ἰσμάρῳ.*

†) *ἡ μὲν χώρα Κικονία — ἔστι δ' αὐτὴ τῆς Θράκης — ἡ δὲ πόλις Ἴσμαρος. τῷ γὰρ γενικῷ τὸ εἰδικὸν ἐπήγαγεν, ὡς τὸ „ἡ δ' ἄρα Κύπρον ἵκανεν, εἰς Πάφον“* (ϑ 262). *πορθεῖ δὲ τοὺς Κίκονας, ὅτι συνεμάχησαν τοῖς Τρωσί* (*B* 846). BQ. cf. ad ϑ 362.

42. *δασσάμεθ', ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.*

Versus 42 asteriscum habuit, *οὐκ ὀρθῶς Λ* 705 ubi v. Ar. La Roche asteriscum non notavit.

43. *διερῷ ποδὶ φευγέμεν ἡμέας.*

Quod habet schol. in PQV: *οἱ δὲ τῷ ζῶντι* Aristarcheum est. cf. ad ζ 201. L. Ar. 47. Sed Aristarchum in etymologia lapsum esse demonstrat Lehrsius, qui „fugaci-pede“ interpretatur, cuius interpretationis vestigium in eodem scholio est: *οἱ δὲ διερῷ τῷ ὀξεῖ καὶ ταχεῖ.* cf. Curtius, Grundzüge der Etymologie p. 212.

48. *οἵ σφιν γείτονες ἦσαν.*

†) *ἐπισημαίνονται ἐν Ἰλιάδι γείτονα μὴ ὠνομάσθαι, ἐν δὲ Ὀδυσσείᾳ νῦν δὲ κἀκεῖ* (Dind. ex Eust. vult: *ἐνταῦθα κεῖται καὶ*) *„ὡς οἱ μὲν δαίνυντο γείτονες ἠδὲ ἔται Μενελάου“* H. (δ 15) Etiam ε 489 *γείτονες* legitur.

59. *Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς.*

*) [*ἡ διπλῆ ὅτι τὸ κλῖναν*] *ἀντὶ τοῦ κλιθῆναι ἠνάγκασαν.* T. cf. *E* 37.

62. *ἔνθεν δὲ προτέρω πλέομεν.*

*) [*ἡ διπλῆ ὅτι τὸ προτέρω*] *ἀντὶ τοῦ εἰς τοὔμπροσθεν. καὶ ἑξῆς ὁμοίως „οὐδ' ἄρα μοι προτέρω νῆες κίον“* (64) H. cf. Ar. ad *K* 469. δ 36. ε 417. ω 475.

68. *νηυσὶ δ' ἐπῶρσ' ἄνεμον Βορέην . . . λαίλαπι θεσπεσίῃ.*

*) [ἡ διπλῆ ὅτι] ἐλλείπει ἡ σύν πρόθεσις, σὺν λαίλαπι T. cf. F. Ar. 25. *M* 207.

69. not. 2.

80. *περιγνάμπτοντα Μάλειαν.*

*) [ἡ διπλῆ ὅτι] νῦν ἑνικῶς Μάλειαν, ἑτέρωθι δὲ πληθυντικῶς „ἀλλ' ὅτε δὴ ῥα ἔμελλε Μαλειάων ὄρος αἰπὺ ἵξεσθαι" BEQ. cf. ad *δ* 514. *γ* 287.

106. *Κυκλώπων δ' ἐς γαῖαν ὑπερφιάλων ἀθεμίστων.*

†) ἡ τῶν μεγαλοφυῶν τῷ σώματι — τῶν δισήμων γὰρ ἡ λέξις — (de quibus v. L. Ar. 146) ἀθεμίστων δὲ τῶν νόμοις μὴ χρωμένων (cf. Ar. ad *Π* 387). φησὶ γὰρ „θεμιστεύει δὲ ἕκαστος παίδων ἠδ' ἀλόχων" (114). εἰ γὰρ ἦν ἀθεμίστων ἀντὶ τοῦ ἀδίκων, πῶς λέγει „οἵ ῥα θεοῖσι πεποιθότες"; (107) εἰ δ' εἴπῃ τις, καὶ πῶς ὁ Πολύφημός φησιν „οὐ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσι", (275) σκοπείτω τὸ πρόσωπον, ὅτι Πολυφήμου ἐστὶ τοῦ ὠμοφάγου καὶ θηριώδους. καὶ Ἡσίοδος — Op. 277 — „ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖσι πετεινοῖς ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς, ἀνθρώποισι δ' ἔδωκε δίκην". ὥστε Πολύφημον μόνον λέγει ὑπερήφανον καὶ ἄδικον, τοὺς δὲ λοιποὺς πάντας Κύκλωπας εὐσεβεῖς καὶ δικαίους καὶ πεποιθότας τοῖς θεοῖς, ὅθεν καὶ ἀνῆκεν αὐτοῖς αὐτομάτως ἡ γῆ τοὺς καρπούς H.

Sic fere etiam alii codd. TV ex parte BQ ad v. 112 cf. praeterea ad v. 225. 275. 508. Hanc Ar. sententiam fuisse apparet ex Apoll. l. h. 12, 20 et 158, 30. Eust. 1617, 20. Totus locus fuit τῶν προβλημάτων v. Apoll. l. c.

112. *τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες*

---

not. 2. 69. *ὀρώρει δ' οὐρανόθεν νύξ.*

νύκτα οὐδέποτε ἐξ Ὀλύμπου ἐρεῖ γεγονέναι ὁ ποιητής. H. cf. *ε* 294.

Fortasse pertinet ad discrimen inter Olympum et Uranum factum; hic est omnis regio, quae nubes excedit, inde ad nubes et terram venit nox, non ab monte in Macedonia sito Olympo.

†) ἀθεμίστους λέγει οὐχ ὡς ἀδίκους, ἀλλ' ὡς μὴ θέμιδος ἤτοι νόμου χρήζοντας εἰς εὕρεσιν τοῦ καλοῦ. ἦσαν γὰρ ἀγαθοί Q.

116. νῆσος ἔπειτα λάχεια.

Fuit diple periestigmene propter Zenodoti lectionem, quam servavit HQ: Ζηνόδοτος τὴν βραχεῖαν, γράφων διὰ τοῦ ε, ἐλάχεια. cf. Eust. 1619, 31. Apoll. l. h. 107, 12. De ἐλάχεια vocabulo omnia incerta sunt praeter accentum, cf. L. qu. ep. p. 175. Dindorfius vulgatam lectionem Aristarcho probatam fuisse putat. cf. ad κ 509.

144. ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ' ἦν, οὐδὲ σελήνη.

†) ἀορασία ἢ ἀχλύς H. Certe diple fuit ὅτι ἀέρα τὴν σκοτίαν καλεῖ. cf. *P* 644. 649. Apoll. l. h. 12, 10. Herod. ad *T* 87.

154. ὦρσαν δὲ νύμφαι ‖ αἶγας ὀρεσκῴους ἵνα δειπνήσειαν ἑταῖροι.

†) ὅμοιόν ἐστι τῷ „οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε" (*X* 329) τὰ γὰρ συμβεβηκότα ὡς αἴτια λαμβάνει H. cf. Ar. ad *X* 329, quem versum expunxit.

167 cf. not. 3.

177. ὡς εἰπὼν ἀνὰ νηὸς ἔβην.

†) ἰδίως εἶπεν ἀντὶ τοῦ ἀνὰ τὴν ναῦν ἔβη H.

Sic in praepositione ἐπὶ ad *E* 249. 700. genetivus pro accusativo Ἀττικῶς notatus est. cf. Eust. 1621, 13.

184. μῆλ', ὄιές τε καὶ αἶγες.

*) [ἡ διπλῆ ὅτι] προτάξας τὸ γένος ἐπήνεγκε τὸ εἶδος V.

Ad *K* 485 enim adnotavit, ὅτι μῆλα οἱ νεώτεροι πάντα τὰ τετράποδα, Ὅμηρος δὲ αἶγας καὶ οἴας· Et ex nostro loco hanc interpretationem fecit Ar. cf. ad *Z* 43.

---

not. 3. 167. καπνόν τ' αὐτῶν τε φθογγὴν οἰῶν τε καὶ αἰγῶν σπονδεῖος ὅλος ὁ στίχος E.

Hoc qui scripsit τε post οἰῶν omittere debebat. Tales versus ex meris spondeis compositos notare solebat Ar. cf. ο 334. φ 15. χ 175. 192. *Λ* 130. An Ar. fuit haec lectio?

198. (Vinum) ὅν μοι ἔδωκε Μάρων ‖ ἱρεὺς Ἀπόλλωνος.

†) ταῦτα σημειοῦνταί τινες πρὸς τὸ μὴ παραδιδόναι Ὅμηρον Διόνυσον οἴνου εὑρέτην, τὸν δὲ Μάρωνα οὐ Διονύσου, ἀλλ' Ἀπόλλωνος ἱερέα, δι' ὅλης τῆς ποιήσεως οἴνου μνημονεύων· ἡ δ' ἀπόστασις πρὸς Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου HQ.

cf. L. Ar. 182, ubi monet, scholii testimonium nec integrum fortasse esse et an Aristonici sit non carere dubio. Nitzsch III, 42.

222. χωρὶς δ' αὖθ' ἕρσαι.

Etym. M. 377, 38: ἕρσαι αἱ ἐν ἔαρι γεννηθεῖσαι ἢ αἱ ἁπαλαὶ καὶ τελείως νέαι, μεταφορικῶς ὡς Ἀριστόνικος ἐν σημείοις. Similia habent Q. ad v. 221 et V. Eust. 1625, 30.

225. †) ἐκ τούτων ἡ δικαιοσύνη τῶν Κυκλώπων δήλη, ἐκ τοῦ ἀμελῶς εὑρεθῆναι τὸ σπήλαιον πλῆρες ὂν τυρῶν τε καὶ θρεμμάτων. ᾔδει γὰρ ὁ Κύκλωψ ὅτι οὐδεὶς ὑφαιρήσεται τῶν ἐπιχωρίων T. cf. ad v. 106.

231. ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν ἠδὲ καὶ αὐτοί τυρῶν αἰνύμενοι φάγομεν.

†) ἐθύσαμεν ἀπὸ τῶν τυρῶν. παλαιὸν γὰρ ἔθος τὸ τῶν ἀπαρχῶν θύειν. „ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς". H.

Ad *I* 219 Ar. adnotavit, verbum θύειν nusquam apud Homerum dici de immolanda hostia sed de offerendis ἀπαρχαί, et θυηλάς esse ἀπαρχάς cf. L. Ar. 82. Hoc certe ad nostrum etiam versum observatum fuit contra Philoxenum, qui falso accepit τὸ „ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν" παρὰ τῷ ποιητῇ εἰρῆσθαι ἐπὶ τῶν ἀρνῶν.

243. τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρησιν.

Ex Eust. 1626, 54: ὅτι τὴν τοῦ σπηλαίου εἴσοδον ἤτοι τὸ περὶ αὐτὴν διάστημα θύραν ὁ ποιητὴς ἐνταῦθα λέγει, καθά που καὶ ἐν Ἰλιάδι πύλας τὸν τόπον περὶ ὃν αἱ πύλαι, quod L. Ar. 156 Aristarcho attribuit cf. ad *ν* 370.

250. πονησάμενος τὰ ἃ ἔργα.

†) πονηθεὶς τὰ αὐτοῦ ἔργα, ὅ ἐστι περιγενόμενος. τοῦτο

γὰρ ὁ πόνος παρὰ τῷ ποιητῇ T. cf. L. Ar. 73. schol. E ad v. 247: ἐνήργησεν. β 334. δ 624.

252—255. ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
ἦ τι κατὰ πρῆξιν, ἦ μαψιδίως ἀλάλησθε
οἷά τε ληιστῆρες ὑπὲρ ἅλα, τοί τ' ἀλόωνται
ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;

Versibus appicti fuerunt asterisci, cf. ad γ 71. Aristophanes obelos cum asteriscis adposuit. cf. Eust. 1627, 33 qui de asteriscorum significatione et forma hoc loco diserte exponit.

261. ἄλλην ὁδὸν, ἄλλα κέλευθα ‖ ἤλθομεν.

†) ἐκ παραλλήλου τὸ αὐτό· τὰ γὰρ δύο ἓν σημαίνουσιν Q. cf. γ 317.

266. ἡμεῖς δ' αὖτε κιχανόμενοι τὰ σὰ γοῦνα ἱκόμεθ', εἴ . .

†) ἱκέται ἐσμὲν παρὰ τὰ σὰ γούνατα παραγενόμενοι Q. cf. etiam T. γ 92. X 123.

275. οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν.

†) τὸ ἴδιον ἁμάρτημα ἑαυτοῦ ὁ Πολύφημος κοινὸν ποιεῖται· ὅτι γὰρ οἱ ἄλλοι Κύκλωπες οὐκ ἦσαν ἄθεοι, φησὶ „νοῦσον δ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλεύασθαι“ (411) HQ. Idem in V. cf. ad v. 106.

297. ἐμπλήσατο νηδύν
ἀνδρόμεα κρέ' ἔδων καὶ ἐπ' ἄκρητον γάλα πίνων.

†) εἰς ἔμφασιν τοῖς παρατατικοῖς κέχρηται ἀδιαλείπτως ἐσθίοντος καὶ πίνοντος· καὶ τὸ „ἀνδρόμεα“ μεῖζον τοῦ ἀνθρώπεια. καὶ τὸ „κεῖτο“ ἐμφαντικῶς. οὐ γὰρ ἂν ἐκ προνοίας ἀνεκλίθη, ἀλλὰ κατηναγκασμένην ἀνατροπὴν σημαίνει τὸ ῥῆμα. Q. De priore scholii parte cf. F. Ar. 4. ϑ 289.

347. Κύκλωψ, τῆ, πίε οἶνον.

*) [ἡ διπλῆ ὅτι τὸ τῆ] ἀντὶ τοῦ λάβε. P.
cf. ϑ 477. Ar. ad Ξ 219.

374. ὁ δ' ἐρεύγετο οἰνοβαρείων.

Fuit diple, quod dixit ὡς περὶ ἑτέρου. cf. Ar. ad *Π* 106 ubi citatur hic versus in eadem adnotatione.

398. cf. not. 4.

473. ὅσσον τε γέγωνε βοήσας.
†) ὅσον ἐξακούεται φωνὴ ἀνδρὸς. cf. L. Ar. 100.

483. τυτθόν, ἐδεύησεν δ' οἰήιον ἄκρον ἱκέσθαι.
†) οὗτος ὁ στίχος συντάσσεται ἀπὸ τοῦ στίχου τοῦ ἀρχομένου „πλημμυρίς" (486) M. cf. Eust. 1640, 33: διὸ ἐν μὲν τοῖς πρώτοις στίχοις τὸ „τυτθὸν ἐδεύησεν οἰήιον ἄκρον ἱκέσθαι" ἀστέρα ἔχει μετὰ ὀβέλου· ὡς ἄριστον μὲν ἔπος ὂν ἐκεῖθεν δὲ ὀβελιζόμενον. ἐν δὲ τοῖς δευτέροις στίχοις ἀστέρα μόνον ἔχει ὡς ἐκεῖ ἄριστα κείμενον.

495. βαλὼν βέλος (i. e. κορυφὴν ὄρεος μεγάλοιο).
†) βλῆμα· νῦν γὰρ τὸν βληθέντα λίθον λέγει V. cf. *M* 458. L. Ar. 56.

508. ἔσκε τις ἐνθάδε μάντις.
†) ἐκ τούτου νοητέον ὅτι δεισιδαίμονες οἱ Κύκλωπες, ὅτι ὑπήκουον βουλήμασι θεῶν, καὶ οὐκ ἀπέκτεινον τοὺς προλέγοντας αὐτοῖς τινα παρὰ θεῶν ἐσόμενα Q. L. Ar. 182. cf. v. 106.

540. τυτθόν, ἐδεύησεν δ' οἰήιον ἄκρον ἱκέσθαι.
Versus asterisco notatus erat cf. ad v. 483 et schol. in HMQV.

---

not. 4. 398. χερσὶν ἀλύων.
νῦν ἀντὶ τοῦ ἀδημονεῖν, ἐν δὲ τοῖς μετὰ ταῦτα ἀντὶ τοῦ χαίρειν, ὡς τὸ „ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας" (σ 333). μέση γὰρ ἡ λέξις B.
cf. Eust. 1636, 22. σ 333. Fluxit fortasse ex Ar.

K.

1. *Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ'.*

*) [ἡ διπλῆ ὅτι] *οὐ τὰς Αἰόλου νήσους νῦν λεγομένας, ἀλλά τινα ἄλλην ἐκτετοπισμένην νῆσον λέγει.* BQV.

cf. δ 556. Eust. 1614, 39.

3. *πλωτῇ ἐνὶ νήσῳ.*

†) *ὁ (δὲ) Ἀρίσταρχος πλωτῇ ἀντὶ τοῦ φορητῇ, οἷον περιφερομένῃ, ὡς ποτὲ μὲν ἐν τοῖς δεξιοῖς μέρεσι, ποτὲ δὲ ἐν τοῖς ἀριστεροῖς ὁρᾶσθαι, οἷον δή τι καὶ περὶ τὴν Δῆλον ἱστορεῖ Πίνδαρος λέγων οὕτως „ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσσι Δᾶλος παντοδαπῶν τ' ἀνέμων ῥιπαῖς"* (fragm. 58) HMQTV. Q praeterea habet: *οἰκειότερον γάρ φησι μὴ ἐρριζῶσθαι τῶν ἀνέμων νῆσον.* Eust. idem. cf. Apoll. l. h. 132, 18. L. Ar. 151.

15. *καὶ ἐξερέεινεν ἕκαστα,*
Ἴλιον Ἀργείων τε νέας καὶ νόστον Ἀχαιῶν.

†) *περὶ τῆς Ἰλίου, περὶ τῶν νεῶν τῶν Ἀργείων, περὶ τοῦ νόστου τῶν Ἀχαιῶν* BH.

Accusativum pro *περὶ* cum genetivo positum esse statuit Ar. etiam ad *P* 54. δ 836. F. Ar. 25.

20. *κατέδησε κέλευθα.*

†) *Ἰωνικῶς τὰς κελεύθους κέλευθα εἶπε* H.

41. *πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ ληΐδος.*

*) *ὅτι διῃρημένως ἀναγνωστέον. βούλεται γαρ λέγειν Τρωΐ-*

κῆς (cod. ἐρωτικῆς, Buttm. et Dind. στρατιωτικῆς) λείας, ὡς ὅτε „οὕνεκά με στερέσαι τῆς ληΐδος ἤθελε πάσης Τρωϊάδος“ (ν 262) Q. cf. Α 129. ε 39, λ 510.

Praeterea fuit diple periestigmene, quod Zenodotus in v. 41 ἐκτελέοντες dedit pro ἐκτελέσαντες. cf. in H.

55 cf. not. 1.

70. ὣς ἐφάμην μαλακοῖσι καθαπτόμενος ἐπέεσιν.

Diple periestigmene contra Zenodotum fuit, qui non intelligens verbum καθάπτεσθαι mediae esse significationis, pro καθαπτόμενος dedit ἀμειβόμενος, quod praefert schol. in H. Ζηνόδοτος „μαλακοῖσιν ἀμειβόμενος“ γράφει. καὶ ἔστι χαριεστάτη ἡ γραφή· οὐ καθάπτεται γὰρ αὐτόν, ἀλλ᾽ ἱκετεύει. cf. ad β 39. γ 345 not. 6.

91. ἔνθ᾽ οἵ γ᾽ εἴσω πάντες ἔχον νέας.

*) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ εἰσεῖχον, ὡς μὴ συγχεῖσθαι τὸ ἔνδον· τὸ δὲ ἔχον ἀντὶ τοῦ ἤλαυνον H. cf. L. Ar. 134. η 13.

110. ὅς τις τῶν δ᾽ εἴη βασιλεύς, καὶ τοῖσιν ἀνάσσοι.

τὸ οἷσιν Ἀρίσταρχος διὰ τοῦ τ, καὶ τοῖσιν ἀνάσσοι, ἀντὶ τοῦ τίνων H. Coaluerunt Didymi et Aristonici verba. cf. F. Ar. 23.

113. κατὰ δ᾽ ἔστυγον αὐτήν.

†) ἐφοβήθησαν, ἐξεπλάγησαν. Notatum est verbum στυγεῖν propter duplicem significationem timere et abhorrere cf. Ο 183. L. Ar. 147.

124. ἰχθῦς δ᾽ ὣς πείροντες ἀτερπέα δαῖτα φέροντο.

†) δῆλον ἐκ τούτου ὅτι ᾔδεσαν ἰχθύων τροφήν T. cf. ad β 368. Π 747.

150. διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.

---

not. 1. 55. αὖτις ἐπ᾽ Αἰολίην νῆσον . .
ἔνθα δ᾽ ἐπ᾽ ἠπείρου βῆμεν
ὅτι τὴν νῆσον ἤπειρον εἶπε κατὰ τὴν διαίρεσιν τοῦ ὑγροῦ, ὡς εἰ ἔλεγεν ἐπὶ τὴν γῆν ἔβημεν BQT. Est fortasse Ar.

*) [ἡ διπλῆ ὅτι πτῶσις ἐνήλλακται] διὰ δρυμῶν πυκνῶν καὶ τῆς ὕλης Q. F. Ar. 21.

152. ἐπεὶ ἴδον αἴθοπα καπνόν.

†) Ἀρίσταρχος τὸν ἐκ τοῦ αἴθεσθαι, ὅ ἐστι καίεσθαι, ἀναδιδόμενον HQ. L. Ar. 151. Eust. αἴθοψ δὲ καπνὸς ὁ ἐκ τοῦ αἴθεσθαί τινα ὕλην ἀναδιδόμενος.

160. δὴ γάρ μιν.

Diple periestigmene, quod Zenodotus legit δὴν γάρ μιν H.

161. κατ' ἄκνηστιν μέσα νῶτα.

†) καταχρηστικῶς φησιν ὁ Ἀρίσταρχος ἐπὶ τῶν θηρίων εἶναι τὴν ἄκνηστιν. οὐ γὰρ αὐτὴν μόνην ἀδυνατοῦσι κνήσασθαι, ἀλλὰ καὶ τὴν ὀσφῦν καὶ τὸν τράχηλον. δεῖ γινώσκειν ὅτι αὐτὸς ἐπεξηγεῖται τί ἐστιν ἄκνηστις διὰ τοῦ εἰπεῖν μέσα νῶτα, ἤτοι ἡ ῥάχις, ἢ τὰ μέσα τῶν τετραπόδων, παρὰ τὸ μὴ δύνασθαι κνήσασθαι HQ.

169. βῆν δὲ καταλοφάδειαν φέρων.

Ad *K* 573 Ar. vocabulum καταλοφάδεια interpretatus est: καταλοφάδειαν (sic) ἀντὶ τοῦ κατὰ τὸν τένοντα. L. Ar. 150.

173. ὦ φίλοι, οὐ γάρ πω.

*) [ἡ διπλῆ ὅτι] ἀπὸ τοῦ γὰρ ἤρξατο HQ. cf. *P* 220. α 337. δ 722. κ 501.

189. κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι.

Versum 189 Callistratus a grammatico quodam, qui nullam illius Homeri consuetudinis ἀπὸ τοῦ γὰρ ἄρχεσθαι cognitionem habuerit, insertum esse dicit cf. in H. Καλλίστρατός φησιν ὡς ὑπό τινος ὁ στίχος προτέτακται ἀγνοοῦντος τὸ Ὁμηρικὸν ἔθος, ὡς θέλει ἄρχεσθαι ἀπὸ τοῦ γάρ. Aristarchus versum non legisse videtur, nam *P* 220 diplam posuit propter hunc Homeri usum et citavit v. 190 ob eandem causam.

190. ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος οὐδ' ὅπῃ ἠώς,
οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
οὐδ' ὅπῃ ἀννεῖται.

†) ἐκ τούτων ἐκτετοπισμένη φαίνεται ἡ πλάνη τοῦ Ὀδυσσέως BQT. cf. L. Ar. 247. δ 556.

Refutatio fuit Cratetis, qui quatuor coeli regiones Homero notas fuisse ex hoc loco contendit. Aristarchus recte eum duas modo orientem et occasum novisse docuit. cf. schol. ad β 1. ἠὼς σημαίνει καὶ τὴν ἡλίου πάροδον, καὶ τὸν τόπον ὅθεν ἀνατέλλει ὁ ἥλιος κατὰ Ἀρίσταρχον· Sequuntur vs. 190—92. νῦν γὰρ, καθά φησιν ὁ Κράτης, τῶν τεσσάρων τοῦ κόσμου μέμνηται μερῶν, ἄρκτου, μεσημβρίας, ἀνατολῆς καὶ δύσεως κ. τ. λ. L. Ar. 174.

193. — ἐγὼ δ' οὐκ ὀίομαι εἶναι. —

†) τοῦτο εἶναι διὰ μέσου φησὶν Ἀρίσταρχος ὡς ἂν ἀπαλγήσαντος τοῦ Ὀδυσσέως ἰδίᾳ ἀναπεφωνῆσθαι HQ. cf. Π 46. α 18.

210. εὗρον δ' ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης.
212. ἀμφὶ δέ μιν . . .

†) ἀπὸ τοῦ πληθυντικοῦ τοῦ δώματα (210) πρὸς ἑνικὸν τὸ δῶμα ὑπήντησεν, ὡς τὸ „ἐξ ἑτέρων ἕτερ' ἐστίν“ (ρ 266). εἶτα ἐπιφέρει „οὐκ ἄν τίς μιν ἀνήρ“ Q. cf. F. Ar. 32.

238. ῥάβδῳ πεπληγυῖα.

Fuit diple ὅτι παθητικῶς πεπληγυῖα ἀντὶ τοῦ πλήσσουσα. cf. ad Ο 730 ubi hic versus sic explanatur. Perfectum secundum enim non ad activum sed ad medium (Ar. παθητικὸν) pertinere veteres statuerunt. cf. F. Ar. 3.

239. καὶ δέμας.

Diple periestigmene, quod Zenodotus legit καὶ πόδας cf. H.

240. αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ.

*) [ἡ διπλῆ] πρὸς τὴν ἑξῆς ἀθέτησιν (329), ὅτι τὸ σῶμα μόνον ἠλλοιοῦτο, ἡ δὲ ψυχὴ ἔμενεν ἀμετάβλητος. πῶς οὖν ἂν λέγοι „σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν“ (329), ὡς καὶ τοῦ νοῦ ἠλλοιωμένου; HQT.

242. πάρ ῥ' ἄκυλον βάλανόν τ' ἔβαλεν καρπόν τε κρανείης.

Versum Aristarchus non legit cf. HQV. Ἀρίσταρχος οὐκ οἶδε τόν στίχον. ὁ δὲ Καλλίστρατος ἀντ' αὐτοῦ γράφει „παντοίης ὕλης ἐτίθει μελιηδέα καρπόν“.

268. *οὔτε τιν' ἄλλον ‖ ἄξεις σῶν ἑτάρων.*

†) *Ἀρίσταρχος ἀντὶ τοῦ σῶον* H.

271. not. 2.

307. *Ἑρμείας μὲν ἔπειτ' ἀπέβη.*

Notatum fuit vocabulum *ἔπειτα ἀντὶ χρονικοῦ, ἀντὶ τοῦ μετὰ ταῦτα*, cf. *I* 169 ubi sic explanatur noster versus.

320. *ἔρχεο νῦν συφεόνδε, μετ' ἄλλων λέξο ἑταίρων.*

†) *οὕτως Ἀρίσταρχος δισυλλάβως τὸ λέξο· ἄδηλον δὲ πότερον κοιμῶ ἢ συναριθμοῦ* H.

E Didymo et Aristonico manasse videtur. cf. L. Ar. 147.

328. *ἀμείψεται ἕρκος ὀδόντων.*

†) *διαβῇ, παρέλθῃ. τὰ φάρμακα δηλονότι, ὡς τὸ „δοῦρα σέσηπεν"* (*B* 135) Q.

Diple fuit, quod praeter consuetudinem verbi formam singularem construxit Homerus cum plurali neutrius *φάρμακα* (cf. F. Ar. 15) et quod in verbo *ἀμείψεται* vocalis *η* correpta est (cf. F. Ar. p. 13).

329. *σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.*

ὁ Σιδώνιός φησιν ἀθετεῖσθαι τὸν στίχον H. Ab Aristarcho expunctum esse versum manifestum est ex Ar. ad v. 240. De Dionysio Sidonio ab Aristonico commemorato cf. ad *M* 36. *T* 365.

351. *οἵ τ' εἰς ἅλαδε προρέουσιν.*

†) *οἵ τε ἅλαδε, οὕτω γράφει Ζηνόδοτος* (corr. Duentzer p. 83, cod. *οἵτ' εἰς ἅλαδε* lemma, et *οὔτε γρ. Ζ.*), *Ἀρίσταρχος δὲ οἵ εἰς ἅλαδε. περισσὴ δέ ἐστιν ἡ εἰς* HQ. (Buttmanni coniectura acutissima pro codd. *εἰς ἅλα· δεύτερον*). Didymi et Aristonici verba coaluerunt, de praepositione *εἰς* superflua cf. F. Ar. p. 27 et 28.

---

not. 2. 271. *τῷδ' ἐνὶ χώρῳ.*

ὡς τὸ „κλυτὸς Ἱπποδάμεια" μετεσχηματισμένον B.

Hoc qui scripsit *χώρῳ* pro *χώρᾳ* legit. Exemplo allato Ar. explicare solebat, substantivis feminini generis adiici saepe adiectiva masculina cf. F. Ar. p. 31 et exempla ad *β* 214 collata.

354. *ἡ δὲ ἑτέρη.*

*) *ὅτι τὸ ἑτέρη ὑγιῶς ἐπὶ τῆς δευτέρας* H. cf. *I* 313. *M* 93.

409. *οἴκτρ᾽ ὀλοφυρομένους.*

†) *οἰκτρῶς καὶ ἐλεεινῶς ὀδυρομένους* H. cf. F. Ar. 29. *α* 209 et exempla ibid.

440. *ἀποπλήξας κεφαλήν.*

ἀντὶ τοῦ ἀποκόψας ex *Ψ* 120 hic posui, ubi Ar. sic interpretatur hunc locum. Altera lectio erat *ἀποτμήξας*, quam Zenodoti esse colligam ex schol. *Σ* 34. cf. Eust. 1664, 31. L. Ar. 13. *Λ* 146. Did.

471. *καὶ τότε μ᾽ ἐκκαλέσαντες.*

*) [*ἡ διπλῆ ὅτι*] *ὁ καὶ περισσός* BQ. cf. F. Ar. 34. *α* 33.

495. *τοὶ δὲ σκιαὶ ἀίσσουσιν.*

†) *ἀντὶ τοῦ αἱ ψυχαί· ὁ μέντοι ποιητὴς πρὸς τοὺς ἄλλους νεκροὺς ποιεῖται τὴν σύγκρισιν ἐν τῷ „οἱ δὲ ἄλλοι νεκροὶ ὡς σκιαὶ ἀίσσουσιν“* BQT. cf. F. Ar. p. 30.

501. *ὦ Κίρκη, τίς γάρ.*

*) [*ἡ διπλῆ ὅτι*] *ἀπὸ τοῦ γὰρ ἤρξατο* H. cf. *α* 337 et exempla ibid.

509. *ἔνθ᾽ ἀκτή τε λάχεια.*

Fuit diple periestigmene, quod Zenodotus scripsit *ἐλάχεια* cf. BHQT: *βαθεῖα, εὔγεως, εὔσκαφος. οὐ δεῖ δὲ γράφειν ἐλάχεια* (sic Zenod. cf. *ι* 116), *οὐ γὰρ εἰκὸς ἐλάχιστον ἀκούειν τῆς Περσεφόνης τό τέμενος. οὐκ ἄτοπον δὲ περὶ τὴν ἀκτὴν εἶναι ἄλσος. πολλὰ γὰρ εὕροι τις ἂν ἄλση ἐπιθαλάσσια.*

510. *ἰτέαι ὠλεσίκαρποι.*

†) *σημείωσαι ὅτι ἄκαρπα φυτὰ εἶπεν εἶναι ἐν τῷ ἄλσει τῆς Περσεφόνης, διὰ τὸ νεκροῖς προσήκειν* BQ.

513. *ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν Κωκυτός τε*

†) *τὸ ἑξῆς, ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε καὶ*

Κωκυτὸς ῥέουσι· τὸ δε σχῆμα καλεῖται προδιαζευγμένον, ὅταν τὸ μεταξὺ δύο ὀνομάτων ἑνικῶν πληθυντικὸν τεθῇ ῥῆμα· τοῦτο καλεῖται Ἀλκμανικὸν οὐχ ὅτι Ἀλκμὰν πρῶτος αὐτῷ ἐχρήσατο, ἀλλ' ὅτι πολύ ἐστι παρ' αὐτῷ, οἷον „Κάστωρ ὠκέων πώλων ἐλατῆρες καὶ Πολυδεύκης". ὅμοιον δέ ἐστι τὸ σχῆμα „εἰ δὲ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (*Υ* 138) *καὶ „ἔνθα ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος"* (*Ε* 774) HQ. cf. Ar. ad *Υ* 138, ubi citatur noster versus, et *Ε* 774.

Λ.

7. ἴκμενον οὖρον ἵει . . ἐσθλὸν ἑταῖρον.

*) [ἡ διπλῆ ὅτι ἑταῖρον οὐ φίλον λέγει, ἀλλὰ] νῦν τὸν συνεργόν V.

cf. ad *N* 456, ubi diple etiam propter nostrum locum. L. Ar. 116.

11. ποντοπορούσης.

†) δῆλός ἐστιν ὁ ποιητὴς διὰ τὸ ποντοπορούσης Ὠκεανὸν καλῶν τὴν ἔξω θάλασσαν. ἀλλαχοῦ δὲ ποταμὸν τὸν Ὠκεανὸν καλεῖ διὰ τὸ ῥοῶδες BQ. cf. L. Ar. 174. Eust. 1670, 33.

26. χοὴν χεόμην.

Diple periestigmene propter Zenodoti lectionem χεάμην fuit cf. H.

38—43. ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων
νύμφαι τ' ἠίθεοί τε πολύτλητοί τε γέροντες,
παρθενικαί τ' ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι·
πολλοὶ δ' οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,
ἄνδρες ἀρηίφατοι βεβροτωμένα τεύχε' ἔχοντες.
οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος
θεσπεσίῃ ἰαχῇ. ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.

*) οἱ [ἕξ] καὶ παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει [προ] ἠθετοῦντο ὡς ἀσύμφωνοι πρὸς τὰ ἑξῆς. οὐ γὰρ μεμιγμέναι παραγίνονται αἱ ψυχαί. νῦν δὲ ὁμοῦ νύμφαι, ἠίθεοι, γέροντες, παρθένοι. καὶ ἄλλως οὐδὲ τὰ τραύματα ἐπὶ τῶν εἰδώλων ὁρᾶται,

ὅθεν ἐρωτᾷ „τίς νύ σε κὴρ ἐδάμασσε; (398) τὸν Ἀγαμέμνονα HQ.

Numerum expunctorum versuum posui ex schol. in V. M. Vind. 56. 133 (cf. La Roche). Sic etiam Eust. 1672, 34. Obelis notati sunt versus in CG.

52—54. οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης· σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε.

Versus expunxit Callistratus cf. in HQ: εἰ ἀποφαίνεται νῦν περὶ τοῦ θανάτου αὐτοῦ, πῶς ἑξῆς διστάζων φησὶ „πῶς ἦλθες ὑπὸ ζόφον;“ διὸ ὁ Καλλίστρατος ἀθετεῖ. La Roche p. 235 Aristarchum etiam hos versus damnasse colligit ex Aristonici adnotatione ad Ψ 73. Sed hoc est notatum propter extremam Od., ubi statim nondum sepulti ad inferos perveniunt cf. L. Ar. 174. Aristarchus si in athetesi hac caussa movebatur, non hos duos modo versus, sed totum locum 52—83 damnare debebat, quia Elpenor nondum sepultus tamen apud inferos est et ab Ulixe exsequias petit. Quid Aristarchus de hoc loco statuerit, non est servatum, sed hoc est certum, illum v. 52—54 non expunxisse propter eam caussam, quam La Roche affert.

66 not. 1.

84. ψυχὴ μητρὸς κατατεθνηυίης.

*) ὅτι πρὸς τὸ ἐκ τῆς περιφράσεως νοούμενον ἀπήντησε. ψυχὴ γὰρ μητρὸς κατατεθνηκυίας ἐστὶν ἡ Ἀντίκλεια BQ.

90. ψυχὴ Θηβαίου Τειρεσίαο.

*) ὅτι πάλιν πρὸς τὸ ἐκ τῆς περιφράσεως νοητὸν ἀπήντησε. ψυχὴ γὰρ Θηβαίου Τειρεσίου ἐστὶν ὁ Τειρεσίας. διὸ ἐπήνεγκεν ἔχων, οὐκ ἔχουσα HQ.

---

not. 1. 66. νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων, πρός τ' ἀλόχου καὶ πατρός.

λείπει ἡ πρός, ἵν' ᾖ πρὸς τῶν οὐ παρεόντων νῦν, ἀλλὰ καταλειφθέντων εἰς τὴν ἡμῶν οἰκίαν HQ. Quod de praepositione omissa dicitur, fluxit fortasse ex Ar.

93. Fuit diple periestigmene, quod Zenodotus dedit *τίπτ' αὔτως* pro *τίπτ' αὖτ, ὦ* cf. H.

105. *αἴ κ' ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν.*

*) [ἡ διπλῆ ὅτι τὸ αἴ κ' ἐθέλῃς ἀντὶ τοῦ] ἐὰν δύνῃ V. cf. Φ 366. L. Ar. 148. γ 121. ϑ 223. ϱ 321.

107. *ἰοειδέα πόντον.*

Ar. interpretatio vocabuli *ἰοειδέα* est ad Ψ 850 *ἀντὶ τοῦ μέλανα πόντον.*

115. *δήεις δ' ἐν πήματα οἴκῳ,*

ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσιν.

*) ὅτι οὐκ ἐνήλλακται ὁ χρόνος ὡς τὸ „σύν τε μεγάλῳ ἀπέτισαν" (Δ 161, ubi Zenodotus *τίσουσιν* scripsit). *οὐ γὰρ ἦσαν οἱ μνηστῆρες συνηγμένοι εἰς τὸν οἶκον Ὀδυσσέως* H. Aristophanes legit *κατέδοιεν* cf. ad β 313.

125. Diple fuit *πρὸς τὸ σχῆμα „οὐδ' εὐήρε' ἐρετμά τά τε πτέρα νηυσὶ πέλονται", πέλονται ἀντὶ τοῦ πέλεται* cf. ad Κ 351 ubi noster versus notatur, η 132. κ 328.

134. *θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ.*

†) *ἔξω τῆς ἁλός· οὐ γὰρ οἶδεν ὁ ποιητὴς τὰ κατὰ τὸν Τηλέγονον καὶ τὰ κατὰ τὸ κέντρον τῆς τρυγόνος* Q.

cf. ad Δ 163 ubi eadem est interpretatio. F. Ar. p. 28. Ψ 281.

157—159. *μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,*

Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι

πεζὸν ἐόντ', ἢν μή τις ἔχῃ εὐεργέα νῆα.

†) *ἀθετοῦνται τρεῖς* H. Caussas affert MV Vind. 56 sed valde mutilatas: *τὸ γὰρ ἑξῆς, μέσον Ὠκεανὸς. γέλοιον δὲ καὶ πεζὸν ἐόντα.* Obeli sunt in G, cf. La Roche p. 240. Nitzsch III, 214.

161—62. *νηί τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες*

εἰς Ἰθάκην, οὐδ' εἶδες ἐνὶ μεγάροισι γυναῖκα;

Nota fuit de Aristophanis athetesi versuum 161—62 cf. H.

185. *Τηλέμαχος τεμένεα νέμεται.*

†) σεσημείωται τὸ ὄνομα ἀδιαιρέτως ἐξηνεχθέν HQ. cf. ad *B* 423 BL. Legit igitur Ar. τεμένη et fallitur H: Ἀρίσταρχος τεμένεα.

191. *ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροὶ εἵματα εἶται·*

*) ὅτι τὴν ἀπὸ τῆς ἐσχάρας σποδὸν κόνιν εἴρηκεν H. cf. ad Σ 23.

Praeterea Zenodoti lectio ἧσται notata fuit. cf. H.

202. *ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,*
σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.

*) ὅτι οὐχ ὡς οἱ νεώτεροί φασιν, αὐτὴν ἀπάγξασθαι παρὰ Ναυπλίου πεπυσμένην τὴν Ὀδυσσέως τελευτήν. οἳ διεσφάλησαν ὑπὸ τοῦ λεγομένου παρὰ τοῦ συβώτου ὡς „ἀπώλετο λευγαλέῳ θανάτῳ, ὡς μὴ θάνοι ὅστις ἔμοιγε ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι“ (ο 359). διαρρήδην γὰρ νῦν ὁμολογεῖ τεθνηκέναι ἕνεκα τοῦ ποθεῖν τὸν Ὀδυσσέα HQ. cf. V ad 197.

236. *) ὅτι οὐχ ὑποτίθεται ἀσεβῆ τὸν Σαλμωνέα, ὡς οἱ νεώτεροι. οὐ γὰρ εὐπατέρειαν ἂν τὴν Τυρὼ εἶπεν οὐδὲ ἀμύμονος πατρός QT.

239. (Enipeus) *ὃς πολὺ κάλλιστος ποταμῶν.*

†) ἐναντίον εἶναι δοκεῖ τοῦτο τῷ „Ἀξίου, οὗ κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν“ (Φ 158). εἰ γὰρ κάλλιστος οὗτος πάντων, οὐκ ἄρα ἐκεῖνος. λύεται δὲ κατὰ λέξιν. τὸ γὰρ κάλλιστον οὐχ ἓν λέγεται, ἀλλὰ πλείω. δηλοῖ δὲ καὶ αὐτὸς ποτὲ μὲν λέγων „Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην“, (Z 252) ποτὲ δὲ „ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην Κασάνδρην“ (N 365). καὶ μὴν καὶ ἀμφότεραι τοῦ Πριάμου θυγατέρες, καὶ ἐὰν ἡ μία θυγατρῶν εἶδος ἀρίστη, οὐκ ἄρα τις ἄλλη, ἀλλ' ὅμως καὶ ἐπὶ τῶν δύο τοῦτό φησι HQT. cf. *N* 365. F. Ar. 31.

245. *λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευεν.*

*) ἀθετεῖται. πρὸς τί γὰρ τῇ ἐρώσῃ καὶ ἑκουσίως βου-

λομένη μιγῆναι κατέχευεν ὕπνον; Ζηνόδοτος δὲ ἀγνοεῖ τὸν στίχον H.

249. τέξεις ἀγλαὰ τέκνα.

Diple periestigmene, quod Zenodotus κακῶς τέξεαι cf. H. Media enim forma Homerus de patre aut de ambobus parentibus utitur. L. Ar. 155.

258. τοὺς δ᾽ ἑτέρους Κρηθῆι τέκεν.

†) καλῶς τοὺς ἑτέρους· δύο γὰρ ἦσαν γένη παίδων, τὸ μὲν ἐκ Ποσειδῶνος, τὸ δὲ ἐκ Κρηθέως Q. cf. κ 354.

260. not. 2.

263. not. 3.

271 not. 4.

275 (Oedipus) ἀλλ᾽ ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων
Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλάς.

*) [ἡ διπλῆ ὅτι] ἀγνοεῖ τὴν τύφλωσιν καὶ τὴν φυγὴν Οἰδίποδος. καὶ ἐν Ἰλιάδι (Ψ 678) γράφει αὐτὸν ἐν Θήβῃ τετελευτηκέναι· „Μηκιστέως υἱὸς Ταλαϊονίδαο ἄνακτος, ὅς ποτε Θήβασδε ἦλθε δεδουπότος Οἰδιπόδαο". BHQ.

cf. ad Ψ 678. L. Ar. 186.

---

not. 2. 260. Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα.

ὁ μὲν ποιητὴς Ἀσωποῦ, οἱ δὲ τραγικοὶ Νυκτέως MH. Fluxit fortasse ex Ar.

not. 3. 263. οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν (Amphion et Zethus)

ὅτι οἱ περὶ Ἀμφίονα ἐτείχισαν τὰς Θήβας διὰ τὸ δεδοικέναι τοὺς Φλεγύας. μετὰ δὲ τελευτὴν αὐτῶν κατασκαφείσης τῆς πόλεως ὑπὸ Εὐρυμάχου τοῦ Φλεγυῶν βασιλέως, Κάδμος ὕστερον ἐλθὼν ἀνέκτισε τὴν Θήβην Q. Fortasse fluxit ex Ar., qui aetate posteriorum poetarum fabulas ab Homero discrepantes notare solebat.

not. 4. 271. μητέρα τ᾽ Οἰδιπόδαο ἴδον, καλὴν Ἐπικάστην, παρὰ τοῖς τραγικοῖς Ἰοκάστην V.

Fluxit fortasse ex Ar. cf. ad 263 not. 3.

286. ἡ δὲ Πύλου βασίλευε, τέκεν δέ οἱ ἀγλαὰ τέκνα, Νέστορά τε Χρομίον τε Περικλύμενόν τ' ἀγέρωχον.

†) ἐναντία φαίνεται ταῦτα τῷ „δώδεκα γὰρ υἷες ἦμεν" (Λ 692). τρεῖς γὰρ εἴρηνται νῦν. λύοιτο δ' ἂν ἐκ τῆς λέξεως· ἐνταῦθα γὰρ ἐκ τῆς Χλωρίδος τρεῖς γενέσθαι τῷ Νηλεῖ φησι. τί οὖν ἐκώλυε καὶ ἐξ ἑτέρων ἔχειν τοὺς λοιπούς; H.

Fuit diple πρὸς τοὺς χωρίζοντας cf. ad Λ 692.

300. ἥ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε.

*) ὅτι οὐ παραδίδωσιν ἐκ Διὸς Κάστορα καὶ Πολυδεύκην, ἀλλ' ἐστὶ νεωτερικὰ ταῦτα H.

315—316. Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

*) ἀθετοῦνται ὡς ἀδύνατοι V. cf. L. Ar. 171. Eust. 1687, 28.

326. Notatum fuit Homero ignotum esse Eriphylam per filium interiisse cf. L. Ar. 184. γ 309—10. ο 248.

350. ξεῖνος δὲ τλήτω.

†) ὁ δὲ παραπληρωματικῶς κεῖται οὐδὲν σημαίνων HQ. cf. F. Ar. 33. β 6 et exempla ibid.

353. μάλιστα δ' ἐμοί. τοῦ γὰρ κράτος.

†) δεικτικῶς ἀντὶ τοῦ ἐμοῦ οὗτινος ἰσχύς ἐστιν ἐν τῷ δήμῳ BQ. cf. F. Ar. p. 30.

364. οἷά τε πολλούς.

Diple periestigmene fuit contra Zenodotum, cf. Didymum: πολλούς· οὕτως Ζηνόδοτος· ὁ δὲ Ἀρίσταρχος πολλούς. Zenodotum πολλά scripsisse monet La Roche, aliter Duentzer, l. c. p. 73, qui πολλά Aristarcho, πολλούς Zenodoto tribuit. Verba Didymi, quae prima specie non sibi constare videntur, olim in codice scripta fuisse existimat, cuius in textu πολλά ferebatur.

379. ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου.

†) ὁ μὲν Ἀρίσταρχος ἐν τῷ καθόλου, ὁ δὲ Σιδώνιος ἐλλειπτικῶς· ὥρη μὲν πολέων μύθων παύσασθαι, ὥρη δὲ ὕπνου μνήσασθαι HT.

399—403. Fuit nota de Aristophanis athetesi versuum 399—403 cf. in H: *οἱ ἠὲ* (i. e. versus ab *ἠὲ* incipientes et qui ab iis pendent, sc. 399—403 Porson.) *ἀθετοῦνται ὑπὸ Ἀριστοφάνους ὡς ἀπὸ τῶν εἰρησομένων* (406—8) *μετενεχθέντες.*

410 (Aegisthus) *ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ οἰκόνδε καλέσας* ‖ *δειπνίσσας.*

*) *ὅτι τῇ ἐπιβουλῇ κἀκείνη συνέγνω· τὸν γὰρ χιτῶνα καὶ τὸν πέλεκυν Ὅμηρος οὐκ οἶδεν* Q. Praeterea notata erat forma verbi *ἔκτα* cf. ad *O* 432.

428. not. 5.

430. *κουριδίῳ τεύξασα πόσει φόνον.*

*) *ὅτι κουρίδιον αὐτόν φησιν. ἔνιοι γὰρ γεγαμῆσθαι τὴν Κλυταιμνήστραν Ταντάλῳ, ὡς Εὐριπίδης* (Iphig.Aul.1149) *εἰςάγει αὐτὴν λέγουσαν „ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανών“* Q. cf. *H* 392. Eust. 1693, 10.

435—442. *ὣς ἔφατ᾽· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·*
ὢ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς
ἐκπάγλως ἤχθηρε γυναικείας διὰ βουλάς
ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ᾽ εἵνεκα πολλοί,
σοὶ δὲ Κλυταιμνήστρα δόλον ἤρτυε τηλόθ᾽ ἐόντι.
ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·
τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι
μήθ᾽ οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ᾽ εὖ εἰδῇς.

Obeli sunt appicti in M, et ex cod. H sequitur, Aristophanem eos expunxisse. Dindorfius solos versus 435—40 pro spuriis habet. Num Aristarchus Aristophanem secutus sit, non manifestum est.

453. *πάρος δέ με πέφνε καὶ αὐτόν.*

---

not. 5. 428. *ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται.*
ἐν πολλοῖς οὐ φέρεται ὡς ἐκλύων τὸν θυμόν, οὐ γὰρ ὅτι πρὸς θεραπείαν Ἀρήτης ὁ Ὀδυσσεύς· οὐ γὰρ ἀναγκαῖον τῷ ὑποκρινομένῳ τὸ πρόσωπον Ἀγαμέμνονος περιίστασθαί τι εἰπεῖν H.

*) [ἡ διπλῆ ὅτι] περιττὸς ὁ καί H. cf. α 33 et exempla ibid.

454—56 not. 6.

461. οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.
*) ἀθετεῖται διὰ τὸ εὔηθες. εἰ γὰρ ἐπέπειστο ὅτι οὔπω τέθνηκε, πρός τί ἐρωτᾷ „ἤ που ἔτι ζώοντος ἀκούετε; H.
Hic posui, non ut Dindorf. ad v. 458.

496. ἀν' Ἑλλάδα τε Φθίην τε.
†) σημείωσαι μόνην τὴν Θετταλίαν (cod. Φθίαν) Ἑλλάδα λέγειν τὸν Ὅμηρον καὶ Ἕλληνας μόνους τοὺς ἐνοικοῦντας αὐτῇ. τοὺς δὲ ἐν ἄλλοις τόποις οἰκοῦντας Ἀργείους κικλήσκει καὶ Ἀχαιούς B. cf. L. Ar. 227. α 344. δ 726. ο 80.

498. οὐ γὰρ ἐγὼν ἐπαρωγός.
Diple periestigmene fuit propter Zenodoti lectionem: εἰ γὰρ ἐγών. cf. H. Vind. 133.

501. εἰ τοῖος δέ.
*) [ἡ διπλῆ ὅτι] τὸ δὲ ἀντὶ τοῦ γὰρ, εἰ τοῖος γάρ H. cf. F. Ar. 35. β 6.

510. ἀμφὶ πόλιν Τροίην φραζοίμεθα βουλάς.
†) τρισυλλάβως τὸ Τροΐην, ὡς καὶ Ἀρίσταρχός φησι. Vind. 133. cf. Λ 129. ε 39.

517. πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι
ὅσσον λαὸν ἔπεφνεν.

---

not. 6. 454/56. ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι κρύβδην, μηδ' ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
οὐδὲ οὗτοι ἐφέροντο ἐν τοῖς πλείστοις ὡς μαχόμενοι τοῖς προκειμένοις H. Vind. 133.
Annotatio loco alieno posita spectat ad v. 454—56. Sic Bekkerus, qui eos in textum non recepit.

*) [ἡ διπλῆ ὅτι] πρὸς τὸ σημαινόμενον ἀπέδωκε πάντας, ὅσσον λαόν H.

Constructio quae dicitur ad sensum saepius notatur cf. F. Ar. p. 32.

521. πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι ‖ κήτειοι κτείνοντο.

†) κήτειοι τοὺς μεγάλους ἀκουστέον παρὰ τὸ κῆτος, ὡς καὶ Ἀρίσταρχος BHQ. Eust. 1697, 19. 26.

Lehrsius Ar. p. 153 testimonio diffidit, non quia putat etymologiae rationem Aristarchi esse non posse, sed quod parum elegans ἑταῖροι μεγάλοι κτείνοντο ἀμφ' αὐτόν.

525. ἡ μὲν ἀνακλῖναι πυκινὸν λόχον ἡ δ' ἐπιθεῖναι.

†) περιγραπτέον ὡς ἀπρεπῆ. θυρωροῦ γὰρ ἔργον H. Ἀρίσταρχος οὐκ οἶδε τὸν στίχον, ἔνια δὲ τῶν ὑπομνημάτων H. ἔνια Porsonus pro ἐνί, post quod lacunam indicavit La Roche.

547. παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.

ἀθετεῖ Ἀρίσταρχος H. cf. Nitzsch III, 300.

†) Νοθεύεται μέχρι τοῦ „ὣς εἰπὼν ὁ μὲν αὖθις ἔδυ δόμον Ἄιδος εἴσω" (627). καίτοι οὐκ ὄντες ἀγενεῖς περὶ τὴν φράσιν. ὑπὲρ δὲ τῆς ἀθετήσεως αὐτῶν λέγεται τοιάδε· (H) πῶς οἶδε τούτους ἢ τοὺς λοιποὺς ἔσω τῶν Ἄιδου πυλῶν ὄντας καὶ τῶν ποταμῶν; HT. cf. schol. Pind. Ol. 1, 97, ubi Aristarchi athetesis huius loci commemoratur.

De atheteseos initio plane non liquet. Buttmannus posuit numeros 568—627. Sed monet Lehrsius Ar. p. 156 nihil impedire, quo minus etiam v. 565—567 inter spurios referantur, in quibus ὅμως v. 565 offensioni sit.

570. (Μίνωνα) ἥμενον· οἳ δέ μιν ἀμφὶ δίκας εἴροντο ἄνακτα

ἥμενοι ἑσταότες.

†) οὐκ ἄρα ὑπεξῆλθεν ὁ Μίνως ἵνα συνοφθῇ. ἄλογον γὰρ τὸ καὶ σὺν δικαζομένοις καὶ αὐτῷ δίφρῳ ἐξελθεῖν HQT.

573. (Ὠρίωνα) . . τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι.

†) οὐδὲ ἐπὶ τούτου τετήρηται τὸ σύμφωνον. ἄλογον γὰρ τὸ ἐν Ἅιδου κυνηγετεῖν· πῶς τε ἅμα τῇ τῶν θηρῶν ἀγέλῃ προῆλθε, καὶ διὰ τί; HT.

577. (Τιτυὸν) κείμενον ἐν δαπέδῳ· ὃ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα.

†) καταγέλαστα καὶ ταῦτα, εἰ κατεστρωμένος ἐν τῷ δαπέδῳ προῆλθεν ἐπὶ τὸ σφάγιον· αὐτὸς γὰρ ὁ Ὀδυσσεὺς οὐκ ἠδύνατο διαβῆναι ἐπὶ τὸ ἔρεβος QT.

579. δέρτρον ἔσω δύνοντες.

†) Ἀρίσταρχος τὸ δέρμα καὶ πάντα τὸν χρῶτα τὸν πρὸ τοῦ ἥπατος. Etym. M. 257, 30.

580. Λητὼ γὰρ ἕλκησε.

†) πόθεν ᾔδει τῶν κολάσεων τὰς αἰτίας; οὐ γὰρ ἤκουσεν. (εἰ μὴ φησί τις εἶναι τοῦτο κατὰ τὴν Ἑλλάδα φήμην) H.

581. διὰ καλλιχόρου Πανοπῆος.

*) ὅτι κατὰ τὸ ἀρσενικὸν ἐσχημάτισται ὁ Πανοπεύς, ὡς βασιλεὺς καὶ βασιλῆος H. cf. ad *B* 520, observatum propter Zenodoti lectionem *Πανοπτέων*.

584. στεῦτο δὲ διψάων.

*) [ἡ διπλῆ ὅτι τὸ στεῦτο] νῦν ἀντὶ τοῦ ἵστατο ἐπὶ τῶν ποδῶν. κέχρηται δὲ τῇ λέξει ὁ διασκευαστὴς παρὰ τὴν τοῦ ποιητοῦ συνήθειαν V et partim B.

Ar. enim observavit hoc verbum in animum inducere, nunquam stare significare (cf. L. Ar. 98) et hoc quidem respiciens ad nostrum locum cf. ad *Σ* 191. *Φ* 455 ubi est diple *πρὸς τὰ ἐν τῇ νεκυίᾳ ἀθετούμενα*. De diasceuasta vide L. Ar. 334.

588. (Τάνταλος) ἀμφὶ δὲ ποσσὶ ‖ γαῖα μέλαινα φάνεσκε, καταζήνασκε δὲ δαίμων. | δένδρεα δ' ὑψιπέτηλα

κατὰ κρῆθεν χέε καρπόν.

†) *οὐδὲ οὗτος* (Tantalus) *δύναται σὺν λίμνῃ καὶ δένδροις ἐξεληλυθέναι ἐπὶ τὸ σφάγιον, ἢ πῶς ἔξωθεν τὰ ἔσω ἐθεώρει;* H.

593. *καὶ μὴν Σίσυφον εἰσεῖδον.*

†) *πῶς δύναται σὺν τῷ λίθῳ καὶ τῇ ἀκρωρείᾳ ἐφ' ᾗ ἀνεκύλιε τὸν λίθον, ἥκειν ἐπὶ τὸ σφάγια; πῶς τε κολάζεται ὁ ἐν Ἰλιάδι (Ζ 153) κέρδιστος ὢν καὶ συνετώτατος;* QT.

Cf. de Sisypho Ar. adnotationem ad Ζ 153. L. Ar. 117.

601. *τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην.*

†) *καὶ τοῦτο νεωτερικόν· οὐ γὰρ οἶδε τὸν Ἡρακλέα ἀπηθανατισμένον, οὐδὲ τὴν Ἥβην γεγαμημένην, ἀλλὰ πάρθενον. διὸ καὶ παρθενικὰ ἔργα ἀποτελεῖ· οἰνοχοεῖ γὰρ καὶ λούει* HQT.

Athetesin demonstrat etiam Ar. ad Ε 905. Δ 2. Σ 117. γ 464.

602. *βίην Ἡρακληείην* ‖ *εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισιν θεοῖσιν*
τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβην,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.

*) *ὅτι εἰς τρία διαιρεῖ, εἰς εἴδωλον, σῶμα, ψυχήν· τοῦτο δὲ οὐκ οἶδεν ὁ ποιητής* BQ.

*) *ὅτι αὐτοὺς τὰ σώματα αὐτῶν φησιν Ὅμηρος, οὐκ ἂν δέοι σώματος ἐν θεοῖς* H. cf. ad Α 4. In cod. G v. 602—4 obelis notati sunt et in Vind. 56 legitur ad v. 602—3: *οὗτοι ἀθετοῦνται καὶ λέγονται Ὀνομακρίτου εἶναι.* cf. La Roche p. 260. Ad v. 604 H habet: *τοῦτο ὑπὸ Ὀνομακρίτου ἐμπεποιῆσθαί φασιν. ἠθέτηται δέ.* Hoc certe coniungendum est, ita ut v. 602—604, qui obelis notati sunt in G, expungantur, quia omnes tres ab Onomacrito inserti sunt, non v. 604 solus, qui legitur etiam Hes. Theog. 902 neque in omnibus libris ferebatur (cf. schol. ad λ 385, solam memorans athetesin v. 602 et 603, neque habent H. et duo Vindob.). Nam intelligi non potest, cur illum unum versum 604 Onomacritus intulerit, ut

monet Nitzschius III, 316, cuius coniectura scholio in Vind. 56 probatur. cf. L. Ar. 333 et 445 et scholion sequens (616), quod discrepantiam inter illum insertum locum 602—4 et v. 616 recte commemorat.

616. *καί μ᾽ ὀλοφυρόμενος.*

†) *ἐλέγχεται ἐκ τούτων τὰ προκείμενα περὶ τοῦ Ἡρακλέους εἰδώλου „αὐτὸς γὰρ μετ᾽ ἀθανάτοισι θεοῖσι“. πῶς οὖν ὀλοφύρεται ὡς ἐν δεινοῖς ὤν;* HQT.

M.

2. λίπεν ῥόον Ὠκεανοῖο
νηῦς, ἀπὸ δ' ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο.

*) [ἡ διπλῆ ὅτι] δι' ὅλου θάλασσαν ἀπὸ Ὠκεανοῦ διαστέλλει ὁ ποιητής BQ. cf. L. Ar. 174.

3. νῆσόν τ' Αἰαίην, ὅθι τ' ἠοῦς ἠριγενείης
οἰκία καὶ χοροί εἰσι καὶ ἀντολαὶ ἠελίοιο.

†) ἢ ὡς ἐπὶ τὰ ἀνατολικὰ μέρη τῆς νήσου προσορμισάντων, ἢ ὅτι ἐξ Ἅιδου ἐλθόντες πρώτην αὐτὴν φωτεινὴν ἐθεάσαντο. ἔνιοι δὲ βιαιότερον ὑπερβάτως κολλῶντες τὸ Ὠκεανοῖο τῷ „ὅθι τ' ἠοῦς ἠριγενείης", οὗ, φασίν, οἰκεῖ ἡ ἡμέρα· ἐξ αὐτοῦ γὰρ ἀνατέλλει καὶ εἰς αὐτὸν δύνει. οὐ μόνον δέ ἐστι βίαιον, ἀλλὰ καὶ ἐναντίον τῷ ποιητῇ· οὐ γὰρ παραδίδωσιν ὁ Ὅμηρος τοὺς ἥρωας ἐπισταμένους ὅτι ἐξ Ὠκεανοῦ αἱ ἀνατολαὶ τοῦ ἡλίου, ἀλλ' αὐτὸς ἐκ τοῦ ἰδίου προσώπου τὸ τοιοῦτον παρέδωκεν. „ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας ἐξ ἀκαλαῤῥείταο βαθυῤῥόου Ὠκεανοῖο" (H 421)· καὶ „ἐν δ' ἔπεσ' Ὠκεανῷ φάος ἠελίοιο" (Θ 485). οἱ δὲ ἥρωες ἄλλως λέγουσιν. „οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν" (K 191) Q.

15. πήξαμεν ἀκροτάτῳ τύμβῳ εὐῆρες ἐρετμόν.

Diple periestigmene, quod Zenodotus legit: ἀκροτάτῳ τύμβῳ ἵνα σῆμα πέλοιτο H.

27. ἀλγήσετε.

*) ὅτι συνέσταλκεν ἀντὶ τοῦ ἀλγήσητε H.
cf. ζ 33. 259. F. Ar. 13.

39. *Σειρῆνας μὲν πρῶτον ἀφίξεαι.*

†) κατὰ Ὅμηρον δύο· Σειρήνοιν γὰρ λέγει V. Ὅμηρος οὔτε γένος αὐτῶν παρίστησιν οὔτε πτερωτὰς αὐτάς φησιν εἶναι HQT. cf. L. Ar. 189. v. 47. 185.

43. *οἴκαδε νοστήσαντι.*

†) ὁ μὲν Ἀριστοφάνης φησὶ κατατηκομένους τῇ ᾠδῇ καὶ αἰφνιδίως ἐκλείποντας ἀπολέσθαι, ὁ δὲ Ἀρίσταρχος διὰ τὴν τῶν ἀναγκαίων σπάνιν Q. [ἣν πάσχουσι προστετηκότες ἐπὶ μακρὸν τῇ ᾠδῇ]. ex Eust. 1707, 51 addidi.

47. *ἐπὶ δ' οὔατ' ἀλεῖψαι ἑταίρων.*

†) [πρὸ] περισπωμένως, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ, τοῦ ἄλειψον H.

†) οὐκ ἄρα ἐπτέρωνται, ἐπεὶ καὶ προσεπέτοντο τοῖς παραπλέουσιν H. cf. v. 39.

52. *ἀκούῃς Σειρήνοιιν.*

*) ὅτι δύο καθ' Ὅμηρον αἱ Σειρῆνες, οὐ τρεῖς Q. cf. ad v. 39. 185. *N* 66. L. Ar. 189.

53—54. *εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύῃς,*
οἱ δέ σ' ἔτι πλεονέσσι τότ' ἐν δεσμοῖσι διδέντων.

Fuit nota de Aristophanis athetesi horum versuum cf. H: ἀθετεῖ Ἀριστοφάνης· πρός τί γὰρ ἅπαξ δεδεμένον πάλιν δῆσαι κελεύει; cf. ad v. 163—64. Non liquet, num Aristarchus secutus sit Aristophanem.

61. not. 1.

73. *οἱ δὲ δύω σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει*
ὀξείῃ κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκεν
κυανέη· τὸ μὲν οὔ ποτ' ἐρωεῖ.

Fuit diple πρὸς τὴν ἐναλλαγὴν πτώσεως „οἱ δὲ δύο σκόπελοι ὁ μὲν“ ἀντὶ τοῦ τῶν δύο σκοπέλων. cf. ad *Γ* 211, ubi nostrum locum sic interpretatus est Ar. F. Ar. 19.

---

not. 1. 61. *Πλαγκτάς.*

Πλαγκτὰς διὰ τὸ προσπλήσσεσθαι αὐταῖς τὰ κύματα· οἱ δὲ νεώτεροι πλανηθέντες, Πλαγκτὰς ἤκουσαν παρὰ τὸ πλάζεσθαι εἰς ὕψος καὶ βάθος H. Fortasse est Ar. interpretatio, cf. Nitzsch III, 373.

75. Ἀρίσταρχος οὐ λέγει πρὸς τὸ νέφος τὴν ἀπότασιν εἶναι, ἀλλά φησιν ὅτι τοῦτο οὐδέποτε λήγει, τὸ κεκαλύφθαι τὸν σκόπελον τῷ νέφει HQ. cf. ad *H* 238. F. Ar. 32.

78. *οὐδ᾽ εἴ οἱ χεῖρές τε ἐείκοσι καὶ πόδες εἶεν.*

*) ὅτι ὁμοία ἡ προφορὰ τῆς ὑπερβολῆς τῷ „οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι" (*B* 489) HQ. cf. ad *B* 489 ubi noster locus memoratur.

85. *δεινὸν λελακυῖα.*

†) Ἰακῶς συνεστάλη H. cf. *I* 378. η 8.

86—88. *τῆς ἦ τοι φωνὴ μὲν ὅση σκύλακος νεογιλῆς γίγνεται, αὐτὴ δ᾽ αὖτε πέλωρ κακόν· οὐδέ κέ τίς μιν γηθήσειεν ἰδών, οὐδ᾽ εἰ θεὸς ἀντιάσειε.*

*) ἀθετοῦνται στίχοι τρεῖς· πῶς γὰρ ἡ δεινὸν λελακυῖα δύναται νεογνοῦ σκυλακίου φωνὴν ἔχειν; HQ. cf. L. Ar. 189. Nitzsch III, 381.

89. *τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι.*

†) Ἀρίσταρχος ἀκώλους· τοὺς γὰρ Ἴωνας λέγειν φασὶ τὴν κωλῆν ὤρην καὶ ὡραίαν· οὐκ ἔχοντας οὖν ὀστᾶ ἀκώλους καὶ ἀνάρθρους λέγεσθαι· ὑποκεῖσθαι γάρ φησι τῇ Σκύλλῃ πετραῖόν τι θηρίον προσπεφυκὸς τῷ σκοπέλῳ καὶ κοχλιῶδες πόδας τε ἔχον πλεκτανώδεις, ὥστε λέγειν οὕτως τὸν ποιητὴν Σκύλλην πετραίην (231). κατὰ δὲ τὴν ἄνωθεν φαντασίαν τῇ Ὕδρᾳ προσεοικέναι καὶ τοὺς αὐχένας αὐτῆς ἰσομεγέθεις εἶναι τῷ σκοπέλῳ. καθιεῖσαν δὲ τὴν Σκύλλαν τὰς κεφαλὰς οὕτως ἀνασπᾶν τοὺς ἁρπαζομένους. „φέρει δέ τε κρατὶ ἑκάστῳ φῶτα ἁρπάζουσα". (99) ὡς ἂν οὖν ὀλισθηρῶν ὄντων τῶν ποδῶν καὶ οὐκ ἐχόντων ἀντίληψιν, ἀώρους ἄν τις δέξαιτο τοὺς ἀκώλους. HQ. cf. L. Ar. 189. cf. 124—126.

92. *πυκνοὶ καὶ θαμέες.*

*) [ἡ διπλῆ ὅτι] ἐκ παραλλήλου ἔταξε τὰς λέξεις ἰσοδυναμούσας V.

cf. ad *Π* 636, ubi noster versus citatur in simili interpretatione.

124—126. *ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κράταιιν,*
μητέρα τῆς Σκύλλης, ἥ μιν τέκε πῆμα βροτοῖσιν.
ἥ μιν ἔπειτ' ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι.

*) *ἀθετοῦνται γ', ὅτι διὰ τούτων σημαίνει μὴ εἶναι τὴν Σκύλλαν σύμφυτον τῇ πέτρᾳ* H. cf. ad 89. L. Ar. 189.

156. *ἵνα εἰδότες ἤ κε θάνωμεν.*
ἤ κεν ἀλευάμενοι θάνατον καὶ κῆρα φύγωμεν.

†) *ἐν ἀμφοτέροις πλεονάζει ὁ κέν, ἢ ἑλώμεθα τὸν θάνατον, ἢ τὰ πρὸς σωτηρίαν παρασκευασώμεθα* H. cf. F. Ar. p. 8.

163—164 versus expunxit Aristophanes cf. H: *καὶ ἐνταῦθα οἱ δύο ὀβελίζονται ὡς ἀδικώτατοι* v. ad 53—54.

172. *ἑζόμενοι λεύκαινον ὕδωρ.*

†) *ἔτυπτον· ἀπὸ τοῦ παρακολουθοῦντος* BQV. cf. Friedlaenderum ad Ar. *B* 417. *γ* 486 et exempla ibidem.

184. *δεῦρ' ἄγ' ἰών, πολύαιν' Ὀδυσεῦ.*

Ar. interpretationem vocabuli *πολύαινε* habet Apoll. l. h. 133, 14: *Ἀρίσταρχος πολλοῦ ἐπαίνου ἄξιε· οἱ δὲ πολύμυθε.*

185. *ἵνα νωιτέρην ὄπ' ἀκούσῃς.*

*) [*ἡ διπλῆ ὅτι*] *δύο φαίνονται καὶ ἐντεῦθεν* H. cf. L. Ar. 189 ad v. 52.

209. *οὐ μὲν δὴ τόδε μεῖζον ἔπι κακόν.*

Fuit diple periestigmene propter Zenodoti lectionem *ἔχει*, alii *ἔπει*, alii *ἔπι.*

243. *ψάμμῳ κυανέη.*

*) [*ἡ διπλῆ ὅτι*] *ἀντὶ τοῦ κυανιζομένη, ὡς „φοίνικι φαεινός“* (*O* 538) Q. cf. ad *O* 538.

250 cf. not. 2.

253. *ἐς πόντον προΐησι βοὸς κέρας ἀγραύλοιο.*

---

not. 2. 250. *ἐξονομακλήδην, τότε γ' ὕστατον, ἀχνύμενοι κῆρ. Καλλίστρατος ὑπονοεῖ τὸν στίχον, λέγων ἐκλύεσθαι τὸ τάχος τῆς ἁρπαγῆς* H.

†) κέρας Ἀρίσταρχος τὸ κεράτινον σύριγγον, ὃ ἐπιτιθέασι πρὸς τὸ μὴ ἐσθίεσθαι ὑπὸ τοῦ ἰχθύος τὴν ὁρμιάν. ἔνιοι δὲ τὴν τρίχα Q.

cf. ad Ω 81. L. Ar. 152. Apoll. l. h. 52, 18.

279. σχέτλιός εἰς, Ὀδυσεῦ.

†) καρτερικὸς, ἀνένδοτος. καὶ ἐν Ἰλιάδι (Κ 164) „σχέτλιός ἐσσι, σὺ μὲν πόνου οὔποτε λήγεις" BQ. cf. ad Κ 164, ubi Ar. σεπτικῶς interpretatur.

281. ὅς ῥ' ἑτάρους καμάτῳ ἀδδηκότας ἠδὲ καὶ ὕπνῳ.

†) ἀηδισθέντας καμάτῳ καὶ ἀγρυπνίᾳ· „μὴ τοὶ μὲν καμάτῳ ἀδδηκότες ἠδὲ καὶ ὕπνῳ" (Κ 98). ἀγρυπνίᾳ κατ' ἀντίφρασιν, ὡς τὸ „ὕπνῳ καὶ καμάτῳ ἀρημένος" (ζ 2) ὁ γὰρ ὕπνος οὐ βλάπτει BQ. cf. Ar. ad Κ 98, observatum contra Zenodoti lectionem.

284. ἀλλ' αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας.

Fuit diple periestigmene, quod Zenodotus legit: ἀλλ' οὕτως· καὶ ἐστιν ἠθικόν H. Sic legit etiam Σ 584, ubi vituperatur ab Ar. οὐ νοήσας ὅτι τὸ αὔτως ἐστὶ κενῶς καὶ πρὸς οὐδέν.

286. ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί.

*) [ἡ διπλῆ ὅτι ἐκ νυκτῶν ἐστιν] μετὰ τὰς νύκτας, ὅ ἐστιν ὄρθρου, ὡς τὸ „πίομεν ἐκ βοτάνης" (Ν 493) ἀντὶ τοῦ μετὰ τὴν βοτάνην BQ.

Sic Ar. ad Ν 493. Nostrum scholium apud Dindorfium ad v. 284 legitur, sed puto hic ponendum esse.

290. θεῶν ἀέκητι ἀνάκτων.

†) Ζηνόδοτος γράφει „φίλων ἀέκητι ἑταίρων" H.

297. ἦ μάλα δή με βιάζετε μοῦνον ἐόντα.

*) [ἡ διπλῆ περιεστιγμένη ὅτι] Ζηνόδοτος [γράφει] βιάζεσθ' οἷον ἐόντα, οὐ νοήσας ὅτι ποιητικῶς ἐσχημάτισται H. Vind. 133.

†) 374—390. ἐναντίον τοῦτο τῷ „Ἠέλιος δ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις" (Γ 277). ἀφ' ἑαυτοῦ γὰρ ἐχρῆν

ἐγνωκέναι τὸν πάντα ἐφορῶντα. Hanc ob causam Aristarchus locum nostrum damnavit cf. Ar. ad Γ 277, ubi est διπλῆ πρὸς τὴν ἀθέτησιν τῶν ἐν Ὀδυσσείᾳ „ὠκέα δ' ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθεν". In M. versibus 375—389 obeli appicti sunt et videtur Ar. hos omnes expunxisse. Fortasse haesitavit quoque, quod Ulixes mentiri videtur — cf. schol. ad ε 79 in QP: ψεύδεται Ὀδυσσεὺς ὅταν λέγῃ „ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠυκόμοιο· ἡ δ' ἔφη Ἑρμείαο διάκτορος αὐτὴ ἀκοῦσαι" (μ 389). οὐδέπω γὰρ αὐτὸν ἑωράκει. — dicens a Calypso nympha se hoc audivisse, cui Mercurius narravisset. At Mercurius, ubi ad nympham venit, hac de re verba non fecit, neque antea deam vidit.

379. οἵ μοι βοῦς ἔκτειναν ὑπέρβιον.

†) βιαστικῶς, ἄγαν βιαίως BQ. cf. F. Ar. p. 29 α 209 et locos ibi collatos.

383. δύσομαι εἰς Ἀίδαο καὶ ἐν νεκύεσσι φαείνω.

†) τὸ φαείνω ἐνεστῶτός ἐστιν ἀντὶ τοῦ μέλλοντος H.

388. τυτθὰ βαλών.

Diple periestigmene, quod Zenodotus dedit: τριχθὰ βαλών. Vind. 133.

417. εἰ δὲ θεείου πλῆτο.

†) θείου. καταστρέφει δὲ εἰς τὸ πυρὸς κεραυνίου V. cf. Friedlaenderum ad Ar. Π 163. Apoll. l. h. 86, 19.

422. Zenodotus pro Ar. ἄραξε legit ἔαξεν. cf. Did. in H.

423. ἐπίτονος βέβλητο.

Notatus fuit versus propter metrum initii, cf. ad Χ 379: τὰ γὰρ τοιαῦτα ἐσημειοῦντο πρὸς κρίσιν ποιημάτων, ὅτι σπανίως Ὅμηρος κακομέτρους ποιεῖ.

439—441. ὄψ'. ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη.
κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
τῆμος δὴ τά γε δοῦρα Χαρύβδιος ἐξεφαάνθη.

†) ἐν πολλοῖς ἐδιστάχθησαν οἱ στίχοι διὰ τὸ „τρὶς μὲν

γὰρ τ' ἀνίησιν ἐπ' ἤματι" (105) *καὶ ἐδείχθη ἑαυτῷ τὰ ἐναντία λέγων ὁ ποιητής· νῦν γὰρ ἅπαξ μόνον καὶ ἀναβάλλει καὶ ἀναῤῥοφεῖ* HQ.

Fluxisse videtur ex Didymo et Aristonico. Callistratus, qui hos versus retinuit, v. 105 expunxit, quod repugnare videtur iis qui nunc leguntur cf. schol. BQ, quod cum La Roche ad v. 105 refero, non ut Duentzer ad v. 107.

445—46. *Σκύλλην δ' οὐκέτ' ἔασε πατὴρ ἀνδρῶν τε θεῶν τε εἰσιδέειν· οὐ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον.*

†) *νοθεύονται δύο· τί γὰρ εἰ εἶδεν ὅπου οὐ δύναται ὁρμᾶν ἡ Σκύλλα, ἀλλ' ἐνίδρυται τῷ σπηλαίῳ; ὡς ἐκ τῶν λόγων τῆς Κίρκης ἔστι μαθεῖν· εἰ γὰρ ἐβούλετο διὰ τῆς Χαρύβδεως πλεῖν ὁ Ὀδυσσεύς, οὐκ ἂν ἠδικήθη ὑπὸ τῆς Σκύλλης, ὡς ἀνῃμμένης τῷ σπηλαίῳ* QH. Vind. 133. cf. ad v. 89. 124—126.

N.

4. cf. not. 1.

5. *τῷ σ' οὔ τι παλιμπλαγχθέντα γ' ὀίω.*

†) ὀπισθόρμητον γενόμενον V.

cf. L. Ar. 91. Hic posui propter rectam vocabuli *πάλιν* interpretationem, quod nusquam rursus significat, sed retro. Ad *Λ* 326 Ar. *παλινορμένω* explanat *ἀντὶ τοῦ ὀπίσω ὁρμῶντες ὡς παλιμπλαγχθέντες.* cf. *ε* 27, 429.

τῷ σ' οὔτι: ἀντὶ τοῦ διὰ τό σε, ὅ ἐστι διὰ τοῦτό σε H. Fortasse est Aristarcheum, etiam *E* 875 dativum esse pro *διά* cum accusativo statuit. cf. *ι* 19.

25. *) *ὅτι οἱ ἑστιώμενοι τοῖς ἑστιῶσι προπίνουσι παρὰ τῷ ποιητῇ* H. cf. ad *υ* 57. *I* 224.

35. *ὡς Ὀδυσῆ' ἀσπαστόν.*

†) *τὸ πλῆρες Ὀδυσῆι, ὡς „ἥρωι Λαομέδοντι“* (*H* 453) H. cf. ad *H* 453. *ϑ* 483.

39. cf. not. 2.

---

not. 1. 4. *ἐπεὶ ἵκευ ἐμὸν ποτὶ χαλκοβατὲς δῶ.*
νῦν κυρίως κεῖται ἡ λέξις. τοιαῦτα γὰρ τὰ τοῦ Ἀλκινόου βασιλέως „χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλέδατο“ (*η* 86) *καὶ τὰ ἑξῆς* HQ. Alibi de Jovis modo domo vocabulum dicitur cf. *Α* 426. *Ξ* 173. *Φ* 438. 505. Talia adnotare solebat Aristarchus. cf. Eust. 1730, 39.

not. 2. 39. *πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ' αὐτοί.*
ὅτι οἱ παλαιοὶ καὶ ἐν τῷ ἀφίστασθαι τὸ χαῖρε ἔλεγον, ὥσπερ

57. *χαῖρέ μοι ὦ βασίλεια διαμπερές.*

*) *ὅτι οἱ ἑστιώμενοι παρ' Ὁμήρῳ τοῖς ἑστιῶσι προπίνουσιν, ὡς Ὀδυσσεὺς Ἀχιλλεῖ καὶ Εὐμαίῳ ὁ αὐτὸς* H. cf. ad v. 25. *I* 224.

78. *ἀνακλινθέντες ἀνεῤῥίπτουν ἅλα πηδῷ.*

†) *ἀπὸ τοῦ παρακολουθοῦντος· ἀναῤῥίπτεται γὰρ ὑπὸ τῶν κοπῶν τὸ ὕδωρ* BV. cf. Friedlaenderum ad *B* 417. *γ* 486.

93. *εὖτ' ἀστὴρ ὑπερέσχε φαάντατος.*

Adnotatum fuit, nunc Luciferum nominari *φαάντατον*, in Iliade contra Hesperum, neque hoc inter se repugnare cf. ad *X* 318. *λ* 239. Eust. 1734, 33.

De scholio ad v. 96 in HQ. cf. ad *α* 72.

109. *δύω δέ τέ οἱ θύραι εἰσίν.*

αἱ μὲν πρὸς Βορέαο . . . αἱ δὲ . .

†) *πῶς ἐπὶ τῶν δύο θυρῶν ἐν τῷ διαιρεῖν φησιν αἱ μὲν, αἱ δὲ;* BHQ. Hinc colligi potest, Ar. diplam fuisse, *ὅτι πληθυντικῶς τὴν θύραν θύρας λέγει.* cf. L. Ar. 124. 156.

128. *Ζεῦ πάτερ.*

*) *ὅτι Ποσειδῶν (ὃς ἦν ἀδελφὸς) πατέρα προσαγορεύει τὸν Δία πρὸς τιμήν* H.

142. *πρεσβύτατον καὶ ἄριστον.*

*) [*ἡ διπλῆ ὅτι*] *οὐ καθ' ἡλικίαν* [*λέγει*], *ἀλλὰ τιμιώτατον, ὡς Ἥρα „καί με πρεσβυτάτην τέκετο“* (*Δ* 59) B. *ἀλλαχοῦ γὰρ λέγει „ἀλλὰ Ζεὺς πρότερος ἐγεγόνει“* (*N* 355), fortasse adiungendum est ex V. cf. Ar. ad *Δ* 59.

157. *ἵνα θαυμάζωσιν ἅπαντες.*

*) [*ἡ διπλῆ ὅτι τὸ θαυμάζωσιν ἀντὶ τοῦ*] *ὁρῶντες ἐκπλήττωνται* V. cf. L. Ar. 147. *B* 320. *Ω* 394.

160. *ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν.*

νῦν τὸ σώζον φαμέν BM. cf. Eust. 1732, 19. Fortasse fluxit ex iis Aristarchi observationibus, quas Lehrsius Ar. cap. III p. 193 de cultu et victu heroum collegit.

†) καταχρηστικῶς ἀντὶ τοῦ οἰκοῦσι. ἐκ γὰρ τῆς Ὑπερησίας μετεληλύθασιν BQ. cf. ζ 4.

173—178. *) [οἱ ἀστερίσκοι] ὅτι ἐκ τοῦ τόπου τούτου μετάκεινται εἰς τὰ κατ᾽ ἀρχὴν πρὸς Ὀδυσσέα ὑπὸ Ἀλκινόου λεγόμενα· οὐκ ὀρθῶς. εἰ γὰρ ἐμέμνητο τοῦ χρησμοῦ, οὐκ ἂν ἀπεκομίσθη ὁ Ὀδυσσεύς Q. cf. ad ϑ 564—71.

173. *Ποσειδάων᾽ ἀγάσασθαι.*

Fuit diple ὅτι τὸ ἀγάσασθαι νῦν ἀντὶ τοῦ φθονῆσαι, οὐκ ἀντὶ τοῦ θαυμάσαι. cf. schol. V. ἄγαν ὀργισθῆναι et ϑ 565, ubi idem versus et Ar. interpretatio ἀντὶ τοῦ φθονῆσαι in B servata est.

174. *οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.*

*) ὅτι καὶ τῶν μὴ ἀναξίων ἀπήμονες, μὴ ἐῶντες αὐτοὺς πημαίνεσθαι Q.

206. *ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων ‖ ἐξικόμην.*

*) [ἡ διπλῆ ὅτι τὸ ἐξικόμην ἀντὶ τοῦ] ἱκέτευσα V. cf. ad Χ 123. γ 92.

207. *θέσθαι ἐπίσταμαι.*

Fuit diple ὅτι τὸ οὐκ ἐπίσταμαι ἀντὶ τοῦ οὐ δύναμαι cf. ad Φ 320, ubi nostrum locum sic interpretatus est Ar. cf. L. Ar. 148.

213. *Ζεύς σφεας τίσαιτο.*

Fuit diple periestigmene propter Zenodoti lectionem (cf. in H): τίσασθαι, quod Dindorfius praef. LXI in τισάσθω mutavit. cf. G. Ribbeckium in Schneidewini Philol. VIII p. 705.

221. *σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη*
ἀνδρὶ δέμας ἐικυῖα νέῳ ἐπιβώτορι μήλων,
παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν.

*) ὅτι καὶ οἱ βασιλεῖς ἔνεμον δῆλον δι᾽ ὧν φησιν Ἀνδρομάχη „πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς βουσὶν ἐπ᾽ εἰλιπόδεσσιν“ (Ζ 423) HQ. καὶ Αἰνείας περὶ Ἀχιλλέως „ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσιν“ (Υ 91) H.

222. Ἀθήνῃ ‖ ἀνδρὶ δέμας εἰκυῖα νέῳ ἐπιβώτορι μήλων.

*) ὅτι ὁ ποιητὴς ἄῤῥενας μὲν θεοὺς θηλείαις οὐδέποτε εἰκάζει, θηλείας δὲ ἄῤῥεσιν HQ. cf. Dind. praef. LXII.

*) [ἡ διπλῆ ὅτι] περισσὴ ἡ πρόθεσις, ὡς καὶ ἐν τῷ (codd. εἰς τὸ) „βοῶν ἐπιβουκόλος ἀνήρ" B. Sic etiam Eust. 1739, 41. cf. L. Ar. 109. γ 195.

320—323. ἀλλ' αἰεὶ φρεσὶν ᾗσιν ἔχων δεδαιγμένον ἦτορ
ἠλώμην, εἵως με θεοὶ κακότητος ἔλυσαν.
πρίν γ' ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
θάρσυνάς τ' ἐπέεσσι καὶ ἐς πόλιν ἤγαγες αὐτή.

*) (νοθεύονται) ἀθετοῦνται δ' στίχοι. ὁ μὲν πρῶτος ὅτι ἀντὶ τοῦ ἐμῇσιν ἔχει τὸ ᾗσιν, ὅπερ ἐστὶ τρίτου προσώπου, τηροῦντος ἀεὶ τοῦ ποιητοῦ τὴν ἐν τούτοις διαφοράν. ὁ δὲ δεύτερος ὅτι Ἀθηνᾶς παρούσης θεοῖς ἀνατίθησι τὴν σωτηρίαν· ὁ δὲ τρίτος καὶ τέταρτος ὅτι οὐκ ἐγίνωσκεν ὡς ἡ φανεῖσα αὐτῷ παρὰ Φαίαξι θεὰ ἦν, ὅτι οὐκ ἐθάρσυνεν, ἀλλὰ τοὐναντίον „μηδέ τιν' ἀνθρώπων ποτιόσσεο, οὐ γὰρ ξείνους οἵδε μαλ' ἀνθρώπους ἀνέχονται" (η 31) HQ. Vind. 133. cf. Apoll. de Pron. p. 139: ὑπ' Ἀριστάρχου ὑπωπτεύετο.

332. οὕνεκ' ἐπητής ἐσσι.

†) ἐπητὴς ἤγουν λόγιος. καὶ ὡς ὁ λόγιος παρὰ τὸν λόγον, οὕτω καὶ ἐπητὴς παρὰ τὸ ἔπος H. Hoc ex Ar. manavisse demonstrat Apoll. l. h. p. 71, 34. cf. L. Ar. 152. De accentu ἐπητής, qui τοῖς παλαιοτέροις placuerit, dixit Eust. 1743, 60 cf. H: Aristarchus et Herodianus ὡς ἀεικής.

333—338. ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ἵετ' ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ' ἄλοχόν τε.
σοὶ δ' οὔπω φίλον ἐστὶ δαήμεναι οὐδὲ πυθέσθαι,
πρίν γ' ἔτι σῆς ἀλόχου πειρήσεαι, ἥ τέ τοι αὔτως
ἧσται ἐνὶ μεγάροισιν, ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.

*) ἀθετοῦνται στίχοι ς' ὅτι οὐδὲν εἴληφε παρ' αὐτοῦ ση-

μεῖον τοῦ μήπω βούλεσθαι τὴν γαμετὴν ἰδεῖν· τοὐναντίον γὰρ διὰ τοῦτο αὐτῷ ἐπιφαίνεται, ἵνα κρύψῃ αὐτοῦ τὴν εἴςοδον. διὸ καί φησιν „ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρείδαο φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον, εἰ μή μοι σὺ ἕκαστα θεὰ κατὰ μοῖραν ἔειπες“ (383). οὕτως οὖν αὐτὸς ἠπείγετο ἰδεῖν τὴν γαμετήν HQ.

347—48. *ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές. ἱρὸν νυμφάων, αἳ νηιάδες καλέονται.*

Ad hos versus annotat Eust.: *οὗτοι οἱ δύο στίχοι ἔν τισι τῶν ἀντιγράφων οὐ κεῖνται.* Fortasse expunxit eos Aristarchus, qui iidem leguntur 103—104 idemque significant quod versus sequentes 349—50. Omittunt *A* 1 m. *K N* 1 m PS.

370. *λίθον δ' ἐπέθηκε θύρῃσιν.*

Ex Eust. 1744, 20 adieci: *λέγει θύρας ὡς καὶ προεδηλώθη τὴν τοῦ σπηλαίου ὀπήν*, quod Lehrsius Aristarcho deberi contendit p. 156 cf. *ι* 243.

377. *οἳ δή τοι τρίετες μέγαρον κάτα κοιρανέουσιν.*

†) *κατὰ τὸν ἀπαρτίζοντα ἀριθμὸν εἶπε τρίετες, ἐπιστάντος ἤδη καὶ τετάρτου· „ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον“.* (*β* 89) *ἔστι γὰρ ἀντὶ τοῦ ταχέως διελεύσεται. καὶ ἀλλαχοῦ „ὡς τρίετες μὲν ἔληθε δόλῳ, ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ τότε δή τις ἔειπε γυναικῶν“* (*β* 106). cf. ad *β* 89. 107. L. Ar. 93.

380. *πάντας μὲν ῥ' ἔλπει.*

Notatum fuit verbum *ἔλπειν* positum esse pro *ποιεῖ ἔλπειν* cf. *δ* 105. *Θ* 328.

389. *αἴ κέ μοι ὧς μεμαυῖα παρασταίης, γλαυκῶπι, καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην.*

†) *ὑπονοεῖται ὁ στίχος διὰ τὸ μὴ ἔχειν ὑπερβολήν. ἐν τῇ A γοῦν τῆς Ἰλιάδος πλείοσι τριακοσίων ἀντέστη καὶ* [*μὴ*] *παρούσης Ἀθηνᾶς* H. cf. Eust. 1744, 52.

398—401. *κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,*

ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος ἕσσω, ὅ κε στυγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα, κνυζώσω δέ τοι ὄσσε πάρος περικαλλέ' ἐόντε.

*) ἀθετοῦνται μετὰ ἀστερίσκων ὡς ἐκ τῶν ἑξῆς μετενηνεγμένοι H. cf. ad v. 430.

405. ὅς τοι ὑῶν ἐπίουρος.

*) [ἡ διπλῆ ὅτι] παρέλκει [ἡ πρόθεσις] ὡς [ἐν τῷ] (cod. τὸ) βοῶν ἐπιβουκόλος Q. cf. L. Ar. 108. γ 195 et exempla ibidem.

430—33. *) [οἱ ἀστερίσκοι] ὅτι ἐντεῦθεν οἱ ἄνω (398—401) μετενηνεγμένοι εἰσίν H.

Ξ.

2. *χῶρον ἀν' ὑλήεντα δι' ἄκριας.*

*) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ δι' ἀκρίων B. cf. F. Ar. 21.

8. *αὐτὸς δείμαθ' ὕεσσιν.*

Fuit diple periestigmene propter Zenodoti lectionem: *δείματο οἷος* H.

12. *τὸ μέλαν δρυὸς ἀμφικεάσσας.*

†) *ὁ Ἀρίσταρχος τὸν φλοῦν* BHQ. cf. L. Ar. 152. Eust. 1748, 55. Quod praeterea legitur in BHQ: *τὸ δὲ δρυὸς δύναται νοεῖσθαι καὶ ἐπὶ παντὸς ξύλου* idem est ab Ar. ad Λ 86 observatum.

18. *ἀντίθεοι μνηστῆρες.*

In schol. QV hoc legitur: *νῦν οἱ ἐναντίοι τοῖς θεοῖς.* Sed potius ex Aristarchi mente esse puto, quod Eust. habet 1749, 4: *τὸ ἀντίθεοι μνηστῆρες, εἰ μὲν τοὺς ἀσεβεῖς δηλοῖ, πάνυ σφοδρῶς ἔχει. ἐπιεικέστερον δὲ αὐτοῦ μετ' ὀλίγα τὸ „μνηστῆρσιν ὑπερφιάλοισιν"* (27). *εἰ δὲ τοὺς ἰσοθέους λέγει διά τε γένος τυχὸν καὶ κάλλος καὶ πλοῦτον καὶ ἀνδρίαν, Ὁμηρικώτερόν ἐστι, καθὰ καὶ τὸ θεοειδῆ που εἶπεν τὸν Πάριν.* cf. L. Ar. 114 sub *ἀντὶ — εἶναι.*

22. Nota fuit de Zenodoti athetesi, cf. in H. Vind. 133: *ὑπωπτεύετο παρὰ Ζηνοδότῳ. Καλλίστρατος ὑπώπτευε τὸν στίχον διὰ τὴν ἐξαρίθμησιν τῶν κυνῶν καὶ τὸ ἐπίθετον.* Duentzerus p. 192 v. 21 et 22 ab Zenodoto et Callistrato expunctos esse contendit, contra quem Dindorfius not. 15, p. 580.

29. *κύνες ὑλακόμωροι.*

†) *ὁ μὲν Ἀρίσταρχος ὀξύφωνοι* QV. Sic Eust. qui addit: *ἐπεὶ καὶ μόρον ἐν ἄλλοις ἐδηλώθη λέγεσθαι τὸ ὀξὺ, ὃ ἐξετάθη ἐν τῷ ὑλακόμωροι.* cf. Apoll. 91, 25. L. Ar. 152.

50. *δέρμα ἰονθάδος ἀγρίου αἰγός.*

†) *οἱ δὲ τὴν τελείαν* B. Restitui quod Buttmannus correxit et Dindorfius in textum recepit: *τελείαν* pro *ταχεῖαν;* nam sic Aristarchum interpretatum esse ut B. cod. docet Apoll. l. h. 91, 32: *διὰ δὲ τοῦ Ἀριστάρχου ὑπομνήματος ἰονθάδος ἔνιοι ἀποδιδόασι τελείου. εἴη δ' ἂν λεγόμενον ἀπὸ τῶν ἰόνθων. τὰς γὰρ τῶν τριχῶν ῥίζας ἰόνθους λέγει Σοφοκλῆς ἐν Χρύσῃ „ἐγὼ μέλαιναν ἐξιονθίζω τρίχα"* (corr. Lehrsius Ar. p. 152 pro *μίαν μέν* cod.). Huc referendum est, quod legitur in H ad v. 51: *οὐκ ἂν νῦν ἔφη δασύ, εἴ γε τὸ ἰονθάδος ἐδήλου τὸ δασέος* (ut voluit Apion cf. Apoll. l. c.).

77. *θέρμ' αὐτοῖς ὀβελοῖσιν· ὁ δ' ἄλφιτα.*

†) *ὡς περὶ ἑτέρου· ἔστι δὲ ἐπὶ τοῦ Εὐμαίου. Ὁμηρικὴ δὲ ἡ φράσις* H. cf. ad v. 447.

87. *πλησάμενοι δέ τε νῆας ἔβαν.*

*) [*ἡ διπλῆ ὅτι*] *ὁ δὲ πλεονάζει* HQ. cf. F. Ar. 33. *β* 6.

102. cf. not. 1.

106. *ζατρεφέων αἰγῶν ὅς τις φαίνηται ἄριστος.*

*) *ὅτι ἀρσενικῶς τὸν αἶγά φησιν* Q. cf. *α* 246.

122. *οὔ τις κεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν ἀγγέλων πείσειε.*

†) *τὸ εὐκτικὸν ἀντὶ ὁριστικοῦ, πείσειε πείσει* H. Verba non sunt Ar., nam nunquam talibus modorum nominibus *εὐκτικὸν, ὁριστικὸν* usus est, (cf. F. Ar. p. 7) sed rem puto.

147. *ἀλλά μιν ἠθεῖον καλέω.*

---

not. 1. 102. *βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες. ὁμοίως τῷ „θῆτές τε δμῶές τε"* (*δ* 644) H. cf. ad *δ* 644.

*) [ἡ διπλῆ ὅτι] τὸ ἠθεῖε προσφώνησίς ἐστι [σεπτικὴ] νεωτέρου πρὸς μείζονα BQ. cf. ad *K* 37. L. Ar. 151.

159. ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω.

*) [ἀθετεῖται] μετενήνεκται [γὰρ] ἀπὸ τῶν ἑξῆς ἐπὶ τῶν πρὸς τὴν Πηνελόπην λόγων (τ 304). οὔπω γὰρ ἀφῖκται εἰς τὴν Ὀδυσσέως οἰκίαν Q.

162—64. τοῦ μὲν φθίνοντος μηνός, τοῦ δὲ ἱσταμένοιο
οἴκαδε νοστήσει καὶ τίσεται, ὅς τις ἐκείνου
ἐνθάδ' ἀτιμάζει ἄλοχον καὶ φαίδιμον υἱόν.

†) ὑποπτεύονται οἱ τρεῖς ὡς ἀσύμφωνοι πρὸς τὰ πρὸ αὐτῶν, καὶ ὡς ὕποπτοι καὶ ὡς ἄπιστοι. πόθεν γὰρ ᾔδει εἰ καὶ ἐκ Δωδώνης ὑποστρέφων οὐ πλοίσει; H.

Hanc notam in imo paginae versus 125—166 continentis scriptam Buttmannus recte ad 162—64 retulit. Obeli cum asteriscis appicti sunt in M etiam duobus praecedentibus versibus 160—61, aptius credo leguntur τ 307. In eodem codice v. 174—184 obelis notati sunt, quam ob caussam ex scholiis non liquet.

171. ἀλλ' ἤτοι ὅρκον μὲν ἐάσομεν.

Diple periestigmene, quod Zenodotus: κεῖνον μὲν scripsit cf. H.

174. τῶν αὖ παιδὸς ἄλαστον ὀδύρομαι.

*) [ἡ διπλῆ ὅτι] λείπει ἡ περὶ, πὲρὶ παιδὸς (H) [καὶ τὸ ἄλαστον] ἀντὶ τοῦ ἀλάστως, ἀνεπιλήστως BV. cf. F. Ar. 26. 29. α 209.

178. τὸν δέ τις ἀθανάτων βλάψε φρένας.

*) [ἡ διπλῆ ὅτι] ἐν σχήματι [εἴρηται] ὡς τὸ „γυναῖκά τε θήσατο μαζόν“ (Ω 58) καὶ „οἵ σ' ὠτειλῆς αἷμ' ἀπολιχμήσονται“ (Φ 122) H.

cf. F. Ar. 20. Ω 58. Sequitur ex scholio, Aristarchum legisse: τόν δέ τις, non ut codd. recentiores τοῦ.

188—190. *) ἀστερίσκος πρόσκειται ἄχρι στίχων γ', ὅτι νῦν ὡς πρὸς ῥάκεσιν ἠμφιεσμένον ὀρθῶς λέγονται· ὡς δὲ πρὸς

τὴν Ἀθηνᾶν ὁμοιωθεῖσαν Μέντῃ καὶ βασιλικὴν ἔχουσαν στολὴν οὐ πάνυ HQ. cf. ad α 171. π 57.

199. ἐκ μὲν Κρητάων γένος εὔχομαι.

†) ἀπὸ τοῦ Κρῆται· καὶ τὰς Ἀθήνας γὰρ ποτὲ ἑνικῶς, ποτὲ πληθυντικῶς ὀνομάζει HQ. cf. ad γ 287. Eust. 1757, 23.

204. cf. not. 2.

214. ἀλλ' ἔμπης καλάμην γέ σ' ὀΐομαι εἰσορόωντα γιγνώσκειν.

†) Apoll. l. h. 94, 30: ὁ Ἀρίσταρχός φησι, μεταφορικῶς τὴν καλάμην εἴρηκεν. καὶ γὰρ ἐπὶ τοῦ ἀμητοῦ τὸ πλῆθος ἰδόντα τῆς καλάμης καὶ τὴν εὐγένειαν ἔστιν ἐπιγνῶναι ὅσος καὶ οἷος ἦν ὁ καρπός. καὶ νῦν οὕτως λέγει, ἀλλ' ὅμως καὶ τὸ λείψανόν σε ὁρῶντα τοῦ σώματος δίομαι ἐπιγινώσκειν, οἷος ἤμην ἀκμάζων ἐγὼ καὶ εὐσθενῶν. Similia habent schol. in BHQV.

231. Fuit diple periestigmene, quod Zenodotus καί σφιν, quod ad ἄνδρας retulisse videtur, pro καί μοι legit cf. H.

246. Αἴγυπτόνδε με θυμὸς ἀνώγει ναυτίλλεσθαι.

*) ὅτι ὁμωνύμως τὸν ποταμὸν καί τὴν χώραν. νῦν δὲ τὴν χώραν H. cf. δ 477.

294. cf. not. 3.

295. Diple periestigmene, quod Zenodotus pro ἑέσσατο dedit ἐφείσατο v. H.

318. αἴθρῳ καὶ καμάτῳ δεδμημένον.

†) αἴθρῳ ἀρσενικῶς, ὡς „ἐν πύλῳ ἐν νεκύεσσιν" (Ε 397) ἀντὶ τοῦ ἐν πύλῃ B.

---

not. 2. Κάστωρ Ὑλακίδης.

Ad v. 204 H habet: Καλλίστρατος ἐν τῇ ἐκ Μουσείου Κάστρω φησὶ γεγράφθαι. Hoc fortasse ex Aristonico fluxisse coniecit Lehrsius Ar. p. 25 not. Sed non apparet, quid Callistratus voluerit. Duentzer Zenod. 42 aliud nomen, quale Ἄκτωρ est, positum fuisse dixit.

not. 3. 294. ἐπήλυθον ὧραι.

ἡ ἐπὶ ἀντὶ τῆς παρά. παρῆλθον οἱ καιροί, ὅ ἐστιν αἱ τροπαί· BHQ. Fluxit fortasse ex Ar. cf. L. qu. ep. 89.

Loco citato (*E* 397) sic interpretatus esse dicitur Aristarchus in LVD. Alii legerunt pro *αἴθρῳ λύθρῳ* cf. Etym. M. 33, 40 ubi idem adnotatur ut in B et adiungitur: *καὶ τὴν δείλην δείελον* (*Φ* 232, ubi v. Aristonicum). Hinc colligi potest, Aristarchum formam *αἶθρον* existimavisse metaplasmum illius *αἴθρη*, quod legitur *P* 646. ξ 44. *μ* 75 Eust. 1760, 32.

321. *ἔνθ' Ὀδυσῆος ἐγὼ πυθόμην.*

*) [*ἡ διπλῆ ὅτι*] *λείπει ἡ περί* H. cf. F. Ar. 26.

336. *βασιλῆι Ἀκάστῳ.*

†) *πῶς ἐν Ἰλιάδι Μέγητά φησιν εἶναι βασιλέα Δουλιχίου; βασιλέας οὖν τοὺς δυνάστας φησί* HQ. De hac vocabuli *βασιλεύς* interpretatione ex Ar. derivata cf. L. Ar. 115. In catalogo navium *B* 627 Meges rex Dulichii est.

338. cf. not. 4.

359. *ἀνδρὸς ἐπισταμένου.*

†) Ex Apoll. l. h. 74, 11: *ἐπὶ στίχου ἐν τῇ ξ' Ὀδυσσείας ἀνδρὸς ἐπισταμένου Ἀρίσταρχος ἐπιστήμονος.* Sic scribendum cf. L. Ar. p. 5.

394. *μάρτυροι ἀμφοτέροισιν θεοί.*

Fuit diple periestigmene *ὅτι Ζηνόδοτος γράφει μάρτυρες· ὁ δὲ Ὅμηρος οὕτως ἐσχημάτικεν.* cf. *α* 273. schol. in HQ.

396. *πέμψαι ‖ Δουλίχιόνδ' ἰέναι.*

*) [*ἡ διπλῆ ὅτι τὸ πέμψαι*] *ἀντὶ τοῦ πέμψον* B. cf. ad *α* 291. F. Ar. 14.

400. *ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν.*

Fuit diple, *ὅτι τὸ ἀλεύεται ἀντὶ τοῦ ἀλεύηται· συνέσταλ-*

---

not. 4. 338. *ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.*

λείπει ἡ ἐξ, ἵν' ἢ ἐκ τῆς δύης ἐπὶ βλάβην ἔλθοιμι, ἢ ἐπὶ ταῖς συμβεβηκυίαις τιμωρίαις ἄλλην βλάβην ὑπομείναιμι BH. cf. nostrum „aus dem Regen unter die Traufe kommen". Fluxit fortasse ex Ar. Aristophanes interpretatus est: „*δύῃ ἐπὶ πῆμα γένηται*" — sic legit — *ἀντὶ τοῦ ἐπὶ τῇ δύῃ* cf. H.

ται γὰρ. cf. ad ζ 33 ubi citatur hic locus in eadem adnotatione. F. Ar. 13.

446. *καὶ ἄργματα θῦσε.*

†) *τὰς ἀπαρχὰς τῶν μερίδων ἢ τὰ ἀπομερισθέντα τοῖς θεοῖς. θῦσε δὲ ἐθυμίασεν· οὐδέποτε γὰρ θῦσαι ἐπὶ τοῦ σφάξαι ἱερεῖόν φησι* BQ. cf. ad *I* 219 ubi citatur noster versus in hac interpretatione. L. Ar. 82. Eust. 1767, 12. ι 231.

447. *οἶνον Ὀδυσσῆι πτολιπόρθῳ ἐν χείρεσσιν ἔθηκεν. ὁ δ' ἕζετο.*

*) [*ἡ διπλῆ ὅτι*] *καὶ τοῦτο ἐξ ἐπαναλήψεως ἐπ' αὐτοῦ τοῦ Ὀδυσσέως* H. cf. ad v. 77. *E* 733. *O* 127. ε 391.

463. *εὐξάμενός τι ἔπος ἐρέω.*

*) [*ἡ διπλῆ ὅτι τὸ εὐξάμενος ἀντὶ τοῦ*] *καυχησάμενος* BQ. L. Ar. 147. cf. 468.

468. *εἴθ' ὣς ἡβώοιμι.*

†) *ἔνθεν δῆλον ὅτι τὸ εὐξάμενος* (463) *ἀντὶ τοῦ καυχησάμενος* HQ.

482. *ἀλλ' ἑπόμην σάκος οἶον ἔχων καὶ ζῶμα φαεινόν.*

†) *νῦν προφανῶς ζῶμα τὸν χιτῶνά φησιν, ὡς διὰ τῶν ἑξῆς δῆλον „παρά μ' ἤπαφε δαίμων οἰοχίτων' ἴμεναι·* (488) *τινὲς δὲ ζῶμα φαεινὸν τὸν σιδηροῦν χιτῶνα* H. Altera interpretatio est Aristarchi cf. L. Ar. 121. Eust. 1770, 35. Apoll. l. h. 81, 18.

495. *κλῦτε φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.*

*) *ἀθετεῖται ὡς ἐκ τῆς Ἰλιάδος* (*B* 56) *μετενηνεγμένος. γελοῖον δὲ εἰπεῖν καὶ τὸν ἐν λόχῳ καθυπνωκέναι* H. cf. ad *B* 56, qui habet asteriscum. Videtur insertus esse versus propter initium orationis coniunctione *γὰρ* factum. Sic H: *τινὲς φασὶν ἐνίους ἠγνοηκότας τὸ* (*ἔθος*) *τοῦ ποιητοῦ, ὅτι ἔθος ἐστὶν αὐτῷ ἀπὸ τοῦ γὰρ ἄρχεσθαι, διὰ τοῦτο πεπλακέναι τὸν στίχον.* cf. κ 174. 189.

503—6. *ὣς νῦν ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη.*
δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,

ἀμφότερον, φιλότητι καὶ αἰδοῖ φωτὸς ἑῆος.
νῦν δέ μ' ἀτιμάζουσι κακὰ χροὶ εἵματ' ἔχοντα.

†) καὶ ὁ Ἀθηνοκλῆς προηθέτει. ἀφανίζουσι γὰρ τὸ χωρίον τοῦ αἰνίγματος διαῤῥήδην αἰτοῦντος. ἄλλως τε καὶ ὁ Εὔμαιος ὕστερον λέγει „αἶνος μέντοι ἀμύμων ὃν κατέλεξας" H.

Versibus 503—506 quatuor obeli appicti sunt in M, in Q tres modo v. 504—506. De Athenocle cf. ad ζ 144.

553. *Βορέω ὑπ' ἰωγῇ.*

†) τῇ σκέπῃ V.

Sic Aristarchum interpretatum esse ὑπὸ σκέπῃ dicit Apoll. l. h. 93, 28.

O.

4. εὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν
6. ἤτοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ.

*) [ἡ διπλῆ ὅτι] πρὸς τὸ δεύτερον πρῶτον ἀπήντηκεν (cod. ἀπήντησεν) καὶ [κατὰ ἐνναλλαγὴν πτώσεως παρείληπται] (cod. ἀντίπτωσις) ἀντὶ τοῦ ὑπὸ μαλακοῦ ὕπνου δεδμημένον H. cf. L. Ar. 11. F. Ar. 24.

16. ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται
Εὐρυμάχῳ γήμασθαι.

*) ὅτι Ἰθακήσιος ὁ Ἰκάριος, οὐ Σπαρτιάτης, ἀδελφὸς Τυνδάρεω H.

cf. schol. in E ad α 285, HMQ ad β 52. HQT ad δ 1.

19. μή νύ τι σεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται.

Fuit nota de Aristophanis athetesi cf. in H: ἀθετεῖ Ἀριστοφάνης ἐπὶ σμικρολογίᾳ παντελῶς. Propter eandem caussam ceraunio apposito σ 281 sq. damnavit. cf. ad v. 91.

20. οἶσθα γὰρ, οἷος θυμός.

Eust. 1773, 27 Zenodotum nostro loco pro οἶσθα scripsisse οἶσθας contendit. cf. α 337. Ar. ad Δ 85.

24—26. ἀλλὰ σύ γ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
δμωάων ἥ τίς τοι ἀρίστη φαίνεται εἶναι,
εἰς ὅ κέ τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν.

ἔνιοι τοὺς γ' νοθεύουσιν, ὅτι μηδὲν τούτων ἐπανελθὼν ποιεῖ H.

Dindorfius lemma 19—21 praefixit, sed scholion ad v. 24—26 pertinere mihi videtur. Sic etiam La Roche II, p. 46.

29. ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε.

*) [ἡ διπλῆ ὅτι] τὴν Σάμην εἴρηκεν Σάμον διὰ τὸ μέτρον καὶ τὴν δείλην δείελον (ρ 606) ἐν ἄλλοις V. cf. L. Ar. 233, α 246. Φ 232.

31—32 not. 1.

45. λὰξ ποδὶ κινήσας, καί μιν πρὸς μῦθον ἔειπεν.

†) νοθεύεται ὡς διαπεπλασμένος ἐξ ἡμιστιχίου τῆς Κ' Ἰλιάδος (158). ἐκεῖ γὰρ προσηκόντως Νέστωρ κοιμώμενον Διομήδην ἀνίστησι κύψαι (corr. Dind. τύψαι) κατοκνήσας διὰ τὸ γῆρας H. Vind. 133. cf. *K* 158, ubi asteriscus.

74. χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

†) ἐν πολλοῖς οὐκ ἐφέρετο. καὶ ἔστιν Ἡσιόδειος τῆς φράσεως ὁ χαρακτήρ HQ. Vind. 133. cf. L. Ar. 343. Σ 39. Ω 614.

78—85. ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,
δειπνήσαντες ἴμεν πολλὴν ἐπ' ἀπείρονα γαῖαν.
εἰ δ' ἐθέλεις τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,
ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
ἄστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἡμέας
αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
ἠέ τινα τριπόδων εὐχάλκων ἠὲ λεβήτων
ἠὲ δύ' ἡμιόνους ἠὲ χρύσειον ἄλεισον.

*) οἱ η' ἠθετοῦντο· συγκέχυται δὲ τὸ δυικὸν τοῦ ἀμφότερον H.

Obeli adscripti sunt in M cf. ad v. 80 et 85.

80. εἰ δ' ἐθέλεις τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος.

†) ἀτόπως καὶ τὸ „ἀν' Ἑλλάδα". μόνην γὰρ τὴν ὑπὸ Ἀχιλλεῖ Ἑλλάδα καλεῖ Ὅμηρος Q. cf. ad δ 726. L. Ar. 228.

---

not. 1. Versus 31—32 Dionysius pro spuriis habuit cf. schol. HQ. Vind. 133.

81. ὄφρα τοι αὐτὸς ἕπομαι, ὑποζεύξω δέ τοι ἵππους.
*) [ἡ διπλῆ ὅτι] ὁ δὲ πλεονάζει H. cf. F. Ar. 33. β 6.

85. καὶ ταῦτα ἀπρεπῆ διδάσκεσθαι πρὸς Μενελάου τὸν Τηλέμαχον τὸ ἀπαιτεῖν H. cf. ad v. 78.

Versum 91 ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται Aristophanes propter eandem caussam ut v. 19 expunxisse videtur, cf. schol. in H. ἔστι σμικρολόγου ὡς Ἀριστοφάνης φησί.

95. ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοΐδης Ἐτεωνεύς,
ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ' αὐτοῦ.
†) οὐκ ἀναγκαῖον ἀθετεῖν· οὐ γὰρ δοῦλοι (corr. La Roche pro Dind. δῆλοι) οἱ θεράποντες ὥστε ἐν τῇ αὐτῇ οἰκίᾳ οἰκεῖν. HQ.

135. χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε.
†) χερόνιπτρα H. cf. ad Ω 304. α 136.

157. Ὀδυσῆ' ἐνὶ οἴκῳ ‖ εἴποιμ'.
†) Ὀδυσῆϊ ἐνί. Ἀττικόν ἐστιν, ὡς „ἥρωϊ Λαομέδοντι πολίσσαμεν“ (Η 453) H. cf. Ar. ad Η 453. ν 35.

161. ἀργὴν χῆνα.
*) ὅτι καὶ θηλυκὸν λέγεται H.
Masculina forma τ 539, 553 legitur.

184. σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
*) [ἡ διπλῆ ὅτι] ἀπὸ τοῦ παρακολουθοῦντος τὸ ἔτρεχον B. cf. Friedlaenderum ad B 417. γ 486.

224. φεύγων ἐξ Ἄργεος.
†) Ἄργεος οὐ τῆς πόλεως, ἀλλὰ τῆς χώρας B. Fluxit ex Ar., qui apud Homerum Peloponnesum Argos nominari observavit, non urbem ut apud recentiores. cf. L. Ar. 227. σ 246.

227. not. 2.

---

not. 2. 227. ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων.
ἡ γραφὴ μετά, ἀντὶ τοῦ ἐν Πυλίοις· μετὰ Πυλίων ναίων ἔξοχα δώματα H. Sic Ar. μετὰ ἀντὶ τοῦ ἐν positum esse etiam Γ 460. Ε 834 docuit. Num legit ἀφνειὸς Πυλίοισι μετ' ἔξοχα . . . ?

244 (253). *Ἀμφιάραος.*
Fuit diple periestigmene quod Zenodotus legit *διὰ τοῦ η* (cf. in H) *Ἀμφιάρηος*, v. ad *Λ* 530, ubi vituperavit eum Ar. propter formam Jonicam *κρητός* pro *κρατός*.

246. *ὃν περὶ κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀπόλλων παντοίην φιλότητ'. οὐδ' ἵκετο γήραος οὐδόν.*
†) *ὁ δὲ παρὰ σύνταξιν κεῖται· λέγει γὰρ ὅτι καίπερ θεοφιλὴς ὢν οὐκ ἐγήρασε. τὸ οὖν ἑξῆς „γήραος δὲ οὐδὸν οὐχ ἵκετο". ὅμοιον δέ ἐστι τῷ „οὐδ' Ἀγαμέμνων λῆγ' ἔριδος τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ"* (*Α* 318). *τὸ γὰρ ἑξῆς „Ἀγαμέμνων δ' οὐ λῆγ' ἔριδος"* HQ. cf. ad *Χ* 91.

248. *τοῦ δ' υἱεῖς ἐγένοντ' Ἀλκμαίων Ἀμφίλοχός τε*
*) *ὅτι οὐκ οἶδεν Ὅμηρος τὸν Ἀλκμάιονα μητροκτόνον.* Vind. 133. L. Ar. 184.

251. *κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.*
Hunc versum expunxit Ar. cf. ad *Υ* 235, ubi est asteriscus.

277. *ἀλλά με νηὸς ἔφεσσαι.*
*) [*ἡ διπλῆ ὅτι τὸ ἔφεσσαι*] *ἀντὶ τοῦ ἔφεσον* B. cf. F. Ar. 14. *α* 291.

282. *φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος.*
*) [*ἡ διπλῆ ὅτι ἐλ*]*λείπει ἡ παρά, ἵν' ᾖ παρ' αὐτοῦ* Q. cf. ad *Β* 186. Fr. Ar. p. 25.

293. *ἐπαιγίζοντα δι' αἰθέρος.*
†) *Ἀριστοφάνης ἐπαΐσσοντα· αἰγίδας ἔλεγον τὰς ὑφ' ἡμῶν καταιγίδας καὶ σφοδρὰς πνοὰς τῶν θυέλλων* Q. Vind. 133.
Fluxisse videtur ex Didymo et Aristonico, cuius verba ab *αἰγίδας* usque ad finem sunt. cf. ad *Β* 148. *Ρ* 594. In verbo *ἐπαιγίζοντα κατὰ* praepositionem omissam esse notavit Ar. ibid.

296. *ἡ δὲ Φεὰς ἐπέβαλλεν.*
Diple fuit *ὅτι νῦν μὲν Φεὰς πληθυντικῶς εἴρηκεν, ἐν δὲ Ἰλιάδι „Φειᾶς πὰρ τείχεσσιν"* (*Η* 135) *ἑνικῶς.* cf. Ar. ad *Η* 135.

312. *αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.*

†) ἐκπώματος ἤτοι ποτηρίου εἶδος τοσούτου καὶ μέτρου BV.

Notatum fuit vocabulum κοτύλην significare et poculum et id quod eo continetur — τὸ μετροῦν καὶ τὸ μετρούμενον — ut χοῖνιξ. cf. ad Φ 502. Χ 494. Eust. 1782, 55.

317. δρώοιμι μετὰ σφίσιν, ὅττ᾽ ἐθέλοιεν.
Fuit diple ὅτι τὸ ἐθέλω ἀεὶ ἀπὸ τοῦ ε ἄρχεται; cf. in H: τὸ ἐθέλοιεν οὕτως αἱ Ἀριστάρχου, φασὶ, τρισυλλάβως τὸ ἐθέλω. F. Ar. ἅσσ᾽ ἐθέλοιεν scripsisse coniecit, collato Α 554, ubi Sidonius ὅττι θέλησθα, Aristarchus ἅσσ᾽ ἐθέλησθα scripsisse traduntur.

334. σίτου καὶ κρειῶν ἠδ᾽ οἴνου βεβρίθασιν.
†) δισυλλάβως μετρητέον καὶ τοῦτον τὸν στίχον. Vind. 133. Notavit Ar. versus ὁλοσπονδείους cf. ad Α 130. φ 15. χ 175.

397. δειπνήσας ἅμ᾽ ὕεσσιν ἀνακτορίῃσιν ἐπέσθω.
†) ὁ Ἀρίσταρχος ταῖς δεσποτικαῖς B. Vind. 133. Apoll. l. h. 34, 23. Eust. 1785, 37.

404. Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο.
†) οἷον ὡς πρὸς τὰς τροπὰς ἡλίου, ὅ ἐστιν ἐπὶ τὰ δυτικὰ μέρη ὑπεράνωθεν τῆς Δήλου. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός BHQ. Eust. 1787, 20.

Π.

2. ἐντύνοντο ἄριστον ἅμ' ἠοῖ.

*) ὅτι καὶ ἐν τῇ Ἰλιάδι ἅμα τῇ ἀνατολῇ ἐσθίουσιν. ἅπαξ ἐνθάδε τὸ ἄριστον καὶ ἐν Ἰλιάδι H.

cf. Ω 124. L. Ar. 127.

10. ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.

†) παρέλκει ἡ ὑπὸ B.

18. ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ.

Fuit diple ὅτι ἀπίαν τὴν πολὺ ἀφεστῶσαν, οὐχ ὡς οἱ νεώτεροι τὴν Πελοπόννησον λέγει· καὶ ἐξηγητικός ἐστιν ὁ τόπος. cf. Ar. ad Γ 49.

31. ἔσσεται οὕτως, ἄττα.

*) [ἡ διπλῆ ὅτι τὸ ἄττα] προσφώνησίς ἐστι νέου πρὸς γέροντα Q. cf. ad I 607.

57—59. *) [οἱ ἀστερίσκοι] ὅτι νῦν ὀρθῶς εἴρηται πῶς ἀφῖκται πτωχὸς ὤν. κατὰ δὲ τὴν πρώτην, ὅτι Μέντῃ εἰκάζεται ἡ Ἀθηνᾶ οὐχ ὑγιῶς HQ. cf. ad α 171. ξ 188.

101. ἔλθοι ἀλητεύων· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.

†) οὗτος ὁ στίχος ὀβελίζεται καὶ καλῶς M. ἔστι περιττὸς ὁ στίχος καὶ διαλύων τὸ πᾶν νόημα HM.

E τ 84 huc translatus videtur esse versus cf. Eust. 1795, 42. Omittit E. 1795, 28.

104. ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.

*) καὶ οὗτος ἀθετεῖται. δύο γὰρ μόνα εὔχεται ἢ παῖς ἐξ Ὀδυσσέως εἶναι ἢ μόνος αὐτὸς ὁ Ὀδυσσεύς· ἀθετεῖ [καὶ] Ζηνόδοτος H.

152—153. ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.

†) νοθεύονται, ὅτι μὴ πέμπει Πηνελόπη πρὸς Λαέρτην (εἰ μὴ ἄρα σιωπωμένως) H.

208. ἥτε με τοῖον ἔθηκεν, ὅπως ἐθέλει.

†) Ἀρίσταρχος ἀντὶ τοῦ τίθησιν τὸ ἔθηκεν ἐξηγεῖται. H. unde patet Aristarchum non ἔθελεν sed ἐθέλει scripsisse. cf. *E* 729. *Π* 633. F. Ar. p. 6.

239. not. 1.

246. †) τοὺς μνηστῆράς φησι ϙη' Ἀρίσταρχος H.

255. μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσεαι.

†) σύνθετον τὸ πολύπικρα, καὶ ἔστιν ἀντὶ τοῦ πολυπίκρως H. cf. α 209.

265. ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσιν.

*) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ ἄλλων ἀνδρῶν καὶ θεῶν B. cf. F. Ar. p. 22.

281—298. †) νοθεύονται ιη'. πόθεν γὰρ ᾔδει τὰ ὅπλα ἐν τῷ ἀνδρῶνι ἀντικείμενα; οἰκείως δὲ χρήσεται τῷ λόγῳ ὅταν αὐτὰ θεάσηται. ἀθετεῖ [καὶ] Ζηνόδοτος HQ. Vind. 133. cf. ad τ 4, ubi asterisci sunt. Eust. 1803, 4 et 1855, 2.

317. Ar. interpretationem νηλείτιδες vocabuli vid. ad τ 498.

326. τεύχεα δέ σφ' ἀπένεικαν.

*) [ἡ διπλῆ ὅτι] ἀντὶ τοῦ αὐτῶν B. cf. F. Ar. 22.

431. τοῦ νῦν οἶκον ἄτιμον ἔδεις.

*) [ὅτι τὸ ἄτιμον] ἀντὶ τοῦ ἀτίμως Q. cf. α 209. Eust. 1807, 33.

---

not. 1. Versum 239 Dionysius expunxit. cf. in H.

P.

10. τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν.

*) [ἡ διπλῆ] πρὸς τὴν τοῦ ἄρθρου μετάθεσιν. ὅμοιόν ἐστι τῷ „οὔτε τὰ τεύχεα καλά". (Φ 317) Q. cf. Ar. ad Φ 317. Δ 11.

12. πύρνον καὶ κοτύλην.

De vocabuli κοτύλη interpretatione cf. ad ο 312 et Χ 494, ubi nostrum locum Ar. commemorat.

23. αὐτίκ' ἐπεί κε πυρὸς θερέω ἀλέη τε γένηται.

*) [ἡ διπλῆ ὅτι] λείπει τὸ διὰ, διὰ πυρός H. cf. F. Ar. 26.

38. ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε.

†) ἐν ἴσῳ τῷ τὰς χεῖρας περιέβαλεν. Sic Aristarchus teste Apoll. l. h. 65, 15.

47. φυγόντι περ αἰπὺν ὄλεθρον.

Superfluam esse particulam περ nostro loco Aristarchus contendit ad Φ 185. τὸ περ ἀντὶ τοῦ δή habet H, quas particulas saepius commutatas esse item docuit, cf. F. Ar. p. 35.

Versum 111 Zenodotus mutavit, cf. H Vind. 133: „ἐνδυκέως ἐφίλει ὡσεί τε πατὴρ ἑὸν υἷα". οὕτως Ἀρίσταρχος. ὁ δὲ Ζηνόδοτος „ἐνδυκέως ἐφίλει ὡσεί τε πατὴρ ἑὸν παῖδα", quod Duentzer p. 86 correxit ὃν παῖδα. Dindorfius mavult: ὃν παῖδ' ἐφίλησε, collatis Ι 481. π 17.

134. ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς.

Fuisse videtur Ar. nota de Philomelede, cf. schol. HQV: *ἄδηλον τίς ὁ Φιλομηλείδης, καὶ εἰ κύριον τὸ ὄνομα. ὁ Φιλομηλείδης ὡς Φιλομήλου υἱός. ὁ γὰρ Πάτροκλος οὐ δύναται δηλοῦσθαι ὡς Φιλομήλας υἱός, ὅτι τε τὰ ἀπὸ μητέρων οὐ σχηματίζει ὁ ποιητής, καὶ ὅτι τὸ ἐπιφερόμενον οὐκ οἰκεῖον ἦν ἐπὶ Πατρόκλου „κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί"* (135) *καὶ ἐν Ἰλιάδι δὲ λέγει* (*P* 670) *„νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο μνησάσθω"*. In hoc scholio illud: *ὅτι τὰ ἀπὸ μητέρων οὐ σχηματίζει ὁ ποιητής* certe Aristarchi est, cf. *Δ* 750. Idem fere ad *δ* 343 scholion in M habet, ubi Philomeledes Lesbi rex fuisse dicitur.

160. 61. *οἷον ἐγὼν οἰωνὸν ἐνσσέλμου ἐπὶ νηὸς*
ἥμενος ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνευν

Versus 160—161 expunxisse videtur Aristarchus, quod Theoclymenus avem non in nave sedens, sed egressus in Ithacam viderat et propter novam vocabuli *ἐγεγώνευν* significationem, quod est clamare non dicere. Si nostro loco clamare interpreteris, ineptum est nec reliquae narrationi conveniens. Nam *ο* 529 Theoclymenus clam sociis Telemacho augurium explanat. Alii totum locum 150—165 damnaverunt, quibus versibus in N obeli appicti sunt. Reliquiae Ar. notarum hae sunt in scholiis: 160 in H: *καὶ μὴν οὐδέπω εἰσελθὼν εἰς τὴν ναῦν θεᾶται τὸν οἰωνόν* H.

in Q. Vind. 133: *ἐν τοῖς χαριεστέροις οὗτοι μόνοι οἱ β' ἀθετοῦνται, ἐπεὶ καὶ πρὶν εἰσελθεῖν* (sc. *ἄστυ*) [*οὐκ*] (corr. L. Ar. p. 100) *ἐν τῇ νηῒ τὸν οἰωνὸν εἶδε. καὶ ἐγεγώνευν ἀκαίρως ἐστίν, ἐν δὲ τοῖς κοινοτέροις ἀπὸ τοῦ „ὥς φάτο" ἕως τοῦ „ἐξ ἐμεῦ"*.

181. *ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην.*

†) *ἀθετεῖ καὶ Ἀριστοφάνης* H. *καί* indicat hunc versum non ab solo Aristophane esse rejectum. Fortasse Aristarchus eum secutus est, cf. ad *α* 185.

196. *ἐπεὶ ἦ φατ' ἀρισφαλέ' ἔμμεναι οὐδόν.*

†) *τὸ οὐδὸν ἀντὶ τοῦ τὴν ὁδόν· νῦν δὲ μόνως μετὰ τοῦ ῡ* BV. cf. Apoll. l. h. 123, 34. Eust. 1815, 2.

246. *αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες* (sc. Melanthii)
*) [ἡ διπλῆ ὅτι] τὸ μῆλα νῦν μόνως τὰς αἶγας H. Alibi oves et caprae cf. L. Ar. 100. ι 184.

261. *στήτην ἐρχομένω, περὶ δέ σφεας ἤλυθ᾿ ἰωή.*
*) [ἡ διπλῆ ὅτι τὸ περὶ δὲ] ἀντὶ τοῦ περὶ γάρ σφεας, ἵνα τοῦ στῆναι φαίνηται ἡ αἰτία H. cf. F. Ar. p. 35. β 6.

264. De hac verborum coniunctione: *ἦ μάλα δὴ τάδε δώματα* (264) et: *οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο* (268), ubi *μίν* ad *δώματα* refertur, v. ad κ 212. Eust. 1819, 34. H habet: *μίν αὐτὸ τὸ δῶμα.* Apoll. l. h. 159, 18.

268. *ὑπεροπλίσσαιτο.*
†) ὁ Ἀρίσταρχος ἀποδίδωσι νικήσειεν [τοῖς ὅπλοις ins. L. Ar. 154.] καὶ γὰρ οἱ νεώτεροι λέγονται ὁπλότεροι ἀπὸ τοῦ νικητικοὶ εἶναι ἐν τοῖς ὅπλοις. Apoll. l. h. 159, 12. Schol. in V habet: ἤτοι ὑπερηφανήσει, quae interpretatio est Apollonii contra Aristarchum, ἢ εὐχερῶς ἐπιβουλεύσει.

277. *ἐγὼ δ᾿ εἶμι προπάροιθεν.*
†) πρότερον χρονικῶς, ὅμοιον τῷ „τὸν δ᾿ Ὀδυσεὺς προπάροιθεν ἰδὼν Διομήδεϊ δεῖξε“ (K 476). τοπικῶς δὲ „ἔστι δέ τις προπάροιθε πόλιος αἰπεῖα Κολώνη“ (B 811) H.
cf. L. Ar. 115. Ar. ad X 197. K 476. Λ 734.

283. *οὐ γάρ τι πληγέων ἀδαήμων οὐδὲ βολάων.*
†) λείπει τὸ εἰμί H. cf. Δ 400. Θ 307. ζ 203.

300. *ἐνίπλειος κυνοραιστέων.*
†) Ἀρίσταρχος τῶν κροτώνων MQ. cf. Apoll. l. h. 105, 15. Eust. 1821, 46. Certe etiam vocabulum ἅπαξ εἰρημένον notatum fuit.

317. *κνώδαλον, ὅττι δίοιτο.*
†) κυρίως μὲν τὸ θαλάσσιον θηρίον, τὸ κῆτος, νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον HV. Hoc ex Ar. manasse de-

monstrat schol. Nicandr. Ther. 760: οἱ περὶ Ἀρίσταρχόν φασι κυρίως τὰ ἐν τῇ θαλάσσῃ. Ὅμηρος δὲ ἐπὶ τοῦ χερσαίου.

359. *εὖθ᾽ ὁ δεδειπνήκει, ὁ δ᾽ ἐπαύετο θεῖος ἀοιδός.*
Versum 359 Aristarchus expunxisse videtur cf. Ar. ad X 329.

385. *ὅ κεν τέρπησιν ἀείδων.*
*) [ἡ διπλῆ ὅτι] τὸ τέρπησιν ἀντὶ τοῦ τέρποι (cod. τέρπῃ), ὡς τὸ „νῦν δ᾽ ἂν πολλὰ πάθῃσι" (X 505) B. cf. F. Ar. p. 9. α 396.

386. *οὗτοι γὰρ κλητοί γε βροτῶν.*
Fuit diple ὅτι τοὺς ἀπὸ τοῦ καλεῖσθαι αἱρουμένους. καὶ ἐν Ἰλιάδι „ἀλλ᾽ ἄγετε, κλητοὺς ὀτρύνομεν" (I 165). cf. Ar. ad I 165, ubi nostrum versum citavit.

415. *δός, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν*
ἔμμεναι, ἀλλ᾽ ὥριστος.
Fuit diple ὅτι τὸ φίλος ἀντὶ τοῦ φίλε (cf. ad Γ 277) καὶ ὅτι ἐκ τοῦ ἐναντίου το ἐναντίον ὑπακουστέον (cf. ad O 11). Nunc iam intelliges, quod habet H: περισσὸν τὸ ἀλλ᾽ ὥριστος. cf. L. Ar. 12.

418. *ἐγὼ δὲ κέ σε κλείω κατ᾽ ἀπείρονα γαῖαν.*
*) [ἡ διπλῆ ὅτι τὸ κλείω] ἐνεστῶς ἐστιν ἀντὶ μέλλοντος H. cf. F. Ar. 9. γ 82.

443 Nota fuisse videtur, nunc Dmetorem Cypri regem esse, in Iliade (Λ 20) Cinyram. Scholiasta in HQ hanc discrepantiam solvit dicens, semper complures reges in insula fuisse. cf. Eust. 1826, 45.

447. *στῆθ᾽ οὕτως ἐς μέσσον.*
†) μετὰ δείξεως, ὁμοίως τῷ „ἀμφίπολοι στῆθ᾽ οὕτω ἀπό-

προθεν" (ζ 218) καὶ τῷ „Ἥφαιστε, πρόμολ' ὧδε" (Σ 392) οὕτως ὡς ἔχεις σχήματος. ὁ δὲ λόγος ὡς νῦν, ἵστασαι, στῆθι κατὰ τὴν αὐτὴν στάσιν, μὴ πλησίον τῆς τραπέζης μου H. cf. Σ 392. ζ 218.

450—52. *ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσι*
μαψιδίως, ἐπεὶ οὔ τις ἐπίσχεσις οὐδ' ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ.

†) τρεῖς νοθεύονται· ἐφ' οἷς γὰρ Ἀντίνοος ὀνειδισθεὶς ὤργισται εἰκὸς ἦν ἀχθεσθῆναι καὶ τοὺς λοιπούς H. Vind. 133.

475—80. *ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ ἐρινύες εἰσίν,*
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη.
τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
ἔσθι' ἕκηλος ξεῖνε καθήμενος, ἢ ἄπιθ' ἄλλῃ,
μή σε νέοι διὰ δῶμα ἐρύσσωσ', οἷ' ἀγορεύεις,
ἢ ποδὸς ἢ καὶ χειρός, ἀποδρύψωσι δὲ πάντα.

†) νοθεύονται ϛ'. πῶς γὰρ ὁ Ἀντίνοος ἐκαρτέρησεν ἐπὶ ταῖς κατάραις, ὃς ἐπὶ τοῖς ἐλλάσσοσιν οὕτως ἠγρίανε; πῶς τε συναλγοῦσιν αὐτῷ οἱ λοιποί, εἰ τοιοῦτος ὢν οὕτω κατηρᾶτο πικρῶς; HQ. Vind. 133.

487. *εὐνομίην ἐφορῶντες.*

†) ἅπαξ εἴρηται παρὰ τῷ ποιητῇ H. εὐνεμεσίαν, καθ' ἣν εὖ νεμόμεθα καὶ διατελοῦμεν V. De hac Ar. etymologia v. L. Ar. p. 348.

501—4. *ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα*
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·
ἔνθ' ἄλλοι μὲν πάντες ἐνέπλησάν τ' ἔδοσάν τε,
οὗτος δὲ θρήνυι πρυμνὸν βάλε δεξιὸν ὦμον.

†) νοθεύει Ἀρίσταρχος δ'. πῶς γὰρ ἂν ταῦτα εἰδείη, εἰ μή πως κατὰ τὸ σιωπώμενον; H. Vind. 133.

504. †) οὐκ ἂν οὕτως ἀκριβῶς εἰδείη τὸ βληθὲν μέρος H. cf. Eust. 1830, 9, qui *ἀνακεφαλαίωσιν* quam dicunt adnotat.

599. σὺ δ' ἔρχεο δειελιήσας.

†) πρὸς τὴν δειλινὴν ὥραν παραγενόμενος, τουτέστι τὴν μεσημβρίαν· ἢ τὴν ἑσπερινὴν διατρίψας. ἔνιοι δὲ τὴν δειλινὴν τροφὴν αἰτῶν. καὶ Καλλίμαχός φησι „δείελον αἰτίζουσιν, ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου", τὴν πρὸς τῇ δειλινῇ τροφὴν αἰτοῦντες. οὐ δεόντως. προειρήκαμεν γὰρ ὅτι οἱ ἀρχαῖοι τρισὶ τροφαῖς ἐχρῶντο V. Idem brevius BH: ἔνιοι τὴν δείλην διατρίψας, οὐ φαγών. cf. L. Ar. 127.

\ψ

Σ.

17. *οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται.*
*) [ἡ διπλῆ ὅτι τὸ χείσεται σημαίνει] χωρήσει· ἔνθεν καὶ χειὰ ἡ κατάδυσις τῶν ὄφεων BQV. cf. ad X 93. L. Ar. 144.

19. *ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.*
*) [ἡ διπλῆ ὅτι τὸ μέλλουσιν ἀντὶ τοῦ] ἐοίκασι QV. cf. α 232. L. Ar. 120.

27. *γρηῒ καμινοῖ ἶσος.*
†) τῇ καμινοκαυστρίᾳ, τῇ φρυττούσῃ τὰς κριθὰς πρὸς τὸ ποιῆσαι ἄλευρα. οὕτως Ἀρίσταρχος BHQ. Vind. 133. Item Eust. et Apoll. qui interpretantur *καμινεύτριαν* pro *καμινοκαύστριαν*.

43. *κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες.*
*) [ἡ διπλῆ ὅτι τὸ ἀγήνορες] νῦν οἱ ἄγαν ἀνδρεῖοι QV. L. Ar. 146. *I* 699.

44. *γαστέρες αἵδ' αἰγῶν κέατ' ἐν πυρί.*
†) ἐν πυρὶ ἀντὶ τοῦ παρὰ πυρί· οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἀριστοφάνης ἐν πυρί, ἐν τῷ καταφωτιζομένῳ τόπῳ, ὡς ἐν Ἰλιάδι „αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ" (*I* 206) BQ. cf. Ar. ad *I* 206, ubi haec interpretatio ad Aristarchum refertur, non ad Aristophanem. An scholiasta nomina commutavit? cf. ad ψ 89.

56. *μή τις ἐπ' Ἴρῳ ἦρα φέρων.*

†) ἐπίηρά ἐστι τὸ ἐντελές, καὶ ἐν Ἰλιάδι „μητρὶ φίλῃ ἐπίηρα“, ὁ μεσολαβήσας τῷ ὀνόματι εἶπεν H. Significat τὴν μετὰ χάριτος ἐπικουρίαν, recentiores pro χάριν. cf. Ar. ad *Α* 572. L. Ar. 111. Apoll. l. h. 73, 11.

79. *βουγάϊε.*

Fuit diple periestigmene, quod Zenodotus dedit βουγήϊε cf. ad *N* 824.

Versibus 84—85 appicti fuerunt asterisci, cf. ad v. 115—116.

91. *ἢ ἐλάσει'.*

†) πλήξει βαλών V. cf. ε 132. L. Ar. 65.

95. *δὴ τότ' ἀνασχομένω ὁ μὲν ἤλασε . . Ἶρος, ὁ δέ.*

*) [ἡ διπλῆ πρὸς τὴν ἐναλλαγὴν πτώσεως.] ἔστι δὲ ἀντὶ τοῦ ἀνασχομένων H. cf. F. Ar. 19.

100. *γέλῳ ἔκθανον.*

*) [ἡ διπλῆ ὅτι ἀντὶ τοῦ] ὑπὸ γέλωτος ἀπέθανον HGl. cf. F. Ar. 24.

106. *κοίρανος εἶναι.*

*) [ἡ διπλῆ ὅτι ἀπαρεμφάτῳ χρῆται ἀντὶ προστακτικοῦ, εἶναι] ἀντὶ τοῦ ἔσο Q.

cf. F. Ar. 14. α 291. ἔσσο legitur apud Homerum α 392. γ 200.

115—116. *ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.*

*) οὗτοι οἱ β' ἐκ τῶν ἄνωθεν (84—85) μετήχθησαν· ἐκεῖ μὲν γὰρ προτρέπων φοβεῖ, ἐνταῦθα δὲ ἀπάνθρωπον τελέως τὸ ἠπιονήπια (?) τελεῖν. διὸ περιγράφονται H.

117. *χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς.*

Fuit diple ὅτι ἐπὶ τῇ φήμῃ οἰωνισάμενος ἔχαιρεν· προείρηκε γὰρ „Ζεύς τοι δοίη ξεῖνε, ὅττι μάλιστ' ἐθέλεις“. cf. Ar. ad Ξ 223.

128. *ἐπητῇ δ' ἀνδρὶ ἔοικας.*

†) δεινῷ εἰπεῖν ἢ λογίῳ παρὰ τὰ ἔπη V. cf. ad ν 332.

130. *οὐδὲν ἀκιδνότερον.*

Fuit diple periestigmene contra Zenodotum, qui scripsit *οὐϑ' ἕν* cf. Eust. 1841, 22. Ammon. de diff. p. 105 s. v. *οὐδέν*.

138. *καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ὄλβιος εἶναι.*

*) [ἡ διπλῆ ὅτι τὸ ἔμελλον ἀντὶ τοῦ] ἐῴκειν Q. cf. L. Ar. 190. α 232.

154. *δὴ γὰρ κακὸν ὄσσετο ϑυμός.*

†) *προεμηνύετο* Q. cf. Χ 356. Ω 172. Α 105. L. Ar. 87.

192. *κάλλεϊ μέν οἱ πρῶτα.*

†) *νῦν τὰ μύρα* V. cf. Ar. ad Ξ 171, ubi est diple *ὅτι μύρον μὲν οὐκ ὀνομάζει, τεϑυμιαμένον δὲ ἔλαιον τὸ μύρον λέγει, ὥστε εἰδέναι μὲν τὴν χρῆσιν, τὸ δὲ ὄνομα μή. λέγει δέ που καὶ* (Ψ 186) *„ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ“ καὶ* (σ 192) *„κάλλεϊ μέν οἱ πρῶτα“ μύρου τι γένος ὀνοματοποιήσας.* cf. L. Ar. 198. 333. Eust. 1843, 8.

197. *ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπεβήσετο δῖα ϑεάων.*

Fuit diple periestigmene propter Zenodoti lectionem *δῖ' Ἀφροδίτη*, cf. schol. H Vind. 133 et Duentzer p. 106, qui scholion ad v. 190 refert.

229. *ἐσϑλά τε καὶ τὰ χέρηα· πάρος δ' ἔτι νήπιος ἦα.*

†) *ἠϑέτει καὶ Ἀρίσταρχος* H. La Roche commutavit *Ἀριστοφάνης*, nescio quam ob caussam.

234. *βίῃ δ' ὅ γε φέρτερος ἦεν.*

[ἡ διπλῆ ὅτι] *ὁ δὲ ἀντὶ τοῦ γάρ* H. cf. F. Ar. 35.

246. *ἂν' Ἴασον Ἄργος Ἀχαιοί.*

*) [ἡ διπλῆ ὅτι Ἴασον Ἄργος] *τὴν Πελοπόννησον* [λέγει] *ἀπὸ Ἰάσου τοῦ τῆς Ἰοῦς· πρὸς τὴν αὐτὴν δὲ καὶ Ἀχαϊκὸν Ἄργος φησί, Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν* BQ. L Ar. 227.

258. *ἑλὼν ἐμὲ χεῖρα.*

*) [ἡ διπλῆ ὅτι] *ἀντὶ τοῦ ἐμοῦ χεῖρα* B. cf. F. Ar. p. 20.

282. *οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, ϑέλγε δὲ ϑυμόν.*

Fuit nota de Aristophanis athetesi cf. schol. in H: *εὐτελὲς τοῦτο, διὸ καὶ κεραύνιον παρέϑηκεν Ἀριστοφάνης.* De ceraunio v. Nauck. Aristoph. p. 18. cf. ad ο 19 et 91.

298. *ἕρματα τρίγληνα μορόεντα.*

†) *τρίκορα κόσμια, ἐνώτια, τριόφθαλμα. τὸ δέ μορόεντα ἀντὶ τοῦ μετὰ πολλοῦ μόρου καὶ κακοπαθείας κατεσκευασμένα.* BQV. cf. Ar. ad Ξ 183.

330—32. *θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ*
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν, ὃ καὶ μεταμώνια βάζεις.

*) *ἀθετοῦνται τρεῖς ὡς ἐκ τῶν ἑξῆς* (390—92) *μετατιθέμενοι· καὶ ὅτι ἐνθάδε μηδὲν ἐθρασύνθη* Q.

333. cf. not. 1.

354. *ἔμπης μοι δοκέει δαΐδων σέλας.*

†) *ἀντὶ τοῦ ὁμοίως, ὡς τὸ „ἔμπης εἰς γαῖάν τε καὶ οὐρανόν“.* (Ξ 174) HV. Alibi *ἀντὶ τοῦ ὅμως* cf. Ω 522. Ξ 174 in V. ε 205. L. Ar. 143.

Versibus 390—92 asterisci appicti fuerunt, cf. ad v. 330—32.

396. *ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα.*

*) [*ἡ διπλῆ ὅτι πτῶσις ἤλλακται ἀντὶ τοῦ οἰνοχόου βάλε χεῖρα*] *ὅμοιον τῷ „ὁ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ τάμνε νέους ὅρπηκας“* (Φ 38) H. cf. F. Ar. 20.

406. not. 2.

406. *δαιμόνιοι, μαίνεσθε.*

†) *θαυμάσιοι ἐπὶ κακῷ* H. cf. L. Ar. 155. ADL ad B 190. τ 71.

423. *κρητῆρα κεράσσατο Μούλιος ἥρως.*

*) *ὅτι πάντας ἥρωας ἔλεγον* B.

cf. L. Ar. 101. Observatum est contra Istrum, qui hoc epitheton principibus modo tribuit.

---

not. 1. 333. *ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας.*

ἀλύεις νῦν ἀντὶ τοῦ χαίρεις, γαυριᾷς Q. Alibi *ἐπὶ λύπης* cf. *E* 352. L. Ω 12. ι 398. Eust. 1636, 22. Est fortasse Ar.

not. 2. 406. *καὶ οὐκέτι κεύθετε θυμῷ.*

ἀντὶ τοῦ ὑπὸ θυμοῦ, ὡς „Ἀχιλῆϊ δαμασθείς“ (*X* 55) BHQ. Fortasse fluxit ex Ar. cf. F. p. 25.

T.

4—13. *οἱ ἀστερίσκοι, ὅτι ἀναγκαίως ἐνθάδε, ὅτε καὶ ἑώρακε τὰ ὅπλα* HMQ. Vind. 133.

Asterisci appicti sunt in Vind. 133. cf. *π* 281. Eust. 1853, 10.

28. *χοίνικος ἅπτηται.*

†) *ἀντὶ τοῦ δαπάνης, τροφῆς, τό τε μετροῦν καὶ τὸ μετρούμενον. ἅπαξ ἐνταῦθα ἡ φωνή· καὶ οὐ διὰ τοῦτο χωριστέον τῆς Ἰλιάδος τὴν Ὀδύσσειαν· κἀκεῖ γάρ εἰσι τοῦδε εὐτελέστερα ὀνόματα „ὅλμον δ᾽ ὡς ἔσσευε βαλὼν“* (*Λ* 147) *„ἀμφ᾽ ἀστραγάλοισι χολωθεὶς“* (*Ψ* 88) *πτύον* HQ. (*πτίον* (?) sic H. *πτύοντ᾽* Q. *πτύοντα* plene legitur *Ψ* 697. Buttmannus coniecit *πτυόφιν* *N* 588). cf. Ar. ad *Λ* 147. *Ψ* 88. Eust. 1853, 60.

34. *χρύσεον λύχνον ἔχουσα.*

*) [*ἡ διπλῆ ὅτι τὸ λύχνον*] *ἀπὸ τοῦ λύειν τὸ νύχος. λέγει δὲ τὴν δᾷδα κυρίως· τοῦ δὲ παρ᾽ ἡμῖν καλουμένου λύχνου τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει. οὐδὲ Ἡσίοδος μέμνηται* HQV. cf. ad *Λ* 147. Orion. p. 94, 16: *λύχνος ὁ λύων τὸ νύχος, τουτέστι τὸ σκότος. οὕτως Ἀριστόνικος ἐν τῷ περὶ σημείων τοῦ Ὁμήρου.* Etym. M. 565, 37. Eust. 1854, 50.

37. *ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι.*

†) *ὁ Ἀρίσταρχος τὰ μεσόστυλα.* BHQ.

cf. L. Ar. 151. Eust. 1855, 1. Notatum fuit praeterea vocabulum *ἔμπης* hoc loco significare *ὁμοίως* cf. Eust. 1854, 58. *ε* 205. L. Ar. 143.

38. *κίονες ὑψόσ᾽ ἔχοντες.*

*) ὅτι καὶ ἀρσενικῶς ὁ κίων H.

Forma feminina est α 53. 127. ρ 29. χ 176. 193. ψ 90. masculina ϑ 66. 473.

46. ἡ δέ μ' ὀδυρομένη εἰρήσεται.

*) [ἡ διπλῆ ὅτι] ὁ δὲ ἀντὶ τοῦ γάρ H. cf. F. Ar. p. 35. β 6.

69. εἶσθα θύραζε.

Notata fuit forma εἶσθα ἀπὸ τοῦ εἶμι cf. ad Φ 424. Legitur etiam K 450. υ 179.

71. δαιμονίη.

†) θαυμασία ἐπὶ κακῷ H.

cf. L. Ar. 155. σ 406 schol. in ADL ad B 190.

111. εὐδικίας ἀνέχησι.

†) ὁ Ἀρίσταρχος εὐδικίας ἄνω ἔχῃ. Apoll. l. h. 36, 20.

130—33. ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.

†) ἠθέτηνται δ' H. Cod. λ', corr. Porsonus, cuius notam v. apud Dindorfium p. 637. Leguntur iidem versus α 245—248. π 122—25. Eust. 1858, 4.

131. ὑλήεντι Ζακύνθῳ.

*) [ὅτι] ἀρσενικῷ θῆλυ ἐπήγαγεν, ὡς τὸ „κλυτός Ἱπποδάμεια" H. cf. F. Ar. p. 31. β 214.

160. ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα || οἶκον κήδεσθαι.

†) δυνατός· καὶ ὁ τε πλεονάζει H, cf. ad E 5. X 29. 118. F. Ar. p. 34.

174. (Κρήτῃ) καὶ ἐννήκοντα πόληες.

*) [ἡ διπλῆ πρὸς τοὺς χωρίζοντας, ὅτι] ἐν Ἰλιάδι (B 649) ἑκατόμπολιν τὴν Κρήτην λέγει, οὐχ ὡρισμένως ἑκατὸν πόλεις ἔχουσαν, ἀλλὰ ἀντὶ τοῦ πολλάς V. cf. Ar. ad B 649.

204. ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

†) *τινὲς βούλονται τὸ ἔλεγε σημαίνειν. ἄλλοι δὲ* (sc. Aristarchus) *τὸ ἤϊσκε, τὸ εἴκαζεν, ὁμοίου· τὸ γὰρ ὅλον, πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὥστε ὅμοια εἶναι ἀληθέσιν* V.

Observavit enim Ar. verbum *ἴσκεν* nunquam significare „inquit", sed ubique „aequavit". Ratio habita est huius loci ab Ar. ad *Π* 41. *χ* 31.

229. *ἀσπαίροντα λάων.*

†) *ὁ μὲν Ἀρίσταρχος ἀπολαύων, ἀπολαυστικῶς ἔχων. ὁ δὲ Κράτης λάων φησὶν ἀντὶ τοῦ βλέπων· ὅθεν κατα στέρησιν ἀλαὸς ὁ τυφλός* V.

Quae de cognato vocabulo *λάρυξ* Orion Etym. p. 94 excerpsit ex Aristonico *ἐν τῷ περὶ σημείων Ὀδυσσείας: — λάρυξ ὁ λαιμός· διὰ γὰρ τούτων, τοῦ λαιμοῦ καὶ λάρυγγος, τὴν ἀπόλαυσιν ἔχομεν τῶν τροφῶν. οὕτως Ἀριστόνικος ἐν τῷ περὶ σημείων Ὀδυσσείας* — ex scholio integriore ad hunc versum deprompta esse coniecit Lehrsius Ar. p. 3. cf. L. Ar. 151. Apoll. l. h. 107, 15. Eust. 1863, 42.

Versibus 304—307 appicti fuerunt asterisci cf. ad *ξ* 159 et 162. In G cod. v. 308 habet obelum.

343. *οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῷ γίγνεται.*

†) *τὰ ἐπικουρητικὰ τῆς ψυχῆς.* Sic Aristarchus teste Apoll. l. h. 73, 11, qui (contra Eust. 1867, 29) *ἐπίηρ' ἀνὰ θυμῷ* legit.

346—48. *εἰ μή τις γρῆυς ἔστι παλαιή, κεδνὰ ἰδυῖα,*
ἥ τις δὴ τέτληκε τόσα φρεσίν, ὅσα τ' ἐγώ περ·
τῇ δ' οὐκ ἂν φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο.

*) *ἀθετοῦνται οἱ τρεῖς, πρῶτον μὲν ὅτι αἱρεῖται τὴν δυναμένην ἐπιγνῶναι· εἶτα δὴ καὶ γέλοιον τὸ „ἥτις δὴ τέτληκε"; τίς γὰρ φθονεῖ τῶν μὴ σπουδαίων;* MN. Vind. 56. *μή* addidit Barnes. Obeli sunt in G appicti, athetesin *τῶν παλαιῶν* commemorat etiam Eust. 1867, 13.

378. *ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμός* ‖ *κήδεσιν.*

*) [*ἡ διπλῆ ὅτι*] *ἀντὶ τοῦ διὰ τὰ σὰ κήδεα* B. cf. *ι* 19. *E* 875. F. Ar. p. 25.

393. τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.
†) τύψας ἐποίησε B. cf. L. Ar. 65. ε 132. η 250. σ 91.

450. λικριφὶς ἀίξας.
Fuit diple ὅτι δὶς κέχρηται τῇ λέξει, νῦν καὶ ἐν Ἰλιάδι (Ξ 463). σημαίνει δὲ πλάγιος ὁρμήσας, ἀπὸ τοῦ λέχριος, κατὰ κοινωνίαν τῶν συμφώνων. cf. Ar. ad Ξ 450.

498. καὶ αἳ νηλείτιδές εἰσι.
†) Ἀρίσταρχος τοὺς πολυαμαρτήτους, τοῦ νη ἐπιτατικοῦ ὄντος B. cf. ad π 317. Apoll. l. h. 116, 37.

518. cf. not. 1.

537. καί τέ σφιν ἰαίνομαι εἰσορόωσα.
Notata fuit praepositio ἐπὶ omissa, σφιν pro ἐπ' αὐτοῖς cf. ad Κ 277. F. Ar. 27.

560. ἤτοι μὲν ὄνειροι ἀμήχανοι.
*) [ἡ διπλῆ ὅτι ἀμήχανοι ἀντὶ τοῦ] πρὸς οὓς μηχανὴν εὑρεῖν οὐκ ἔστιν V. cf. L. Ar. 146.

---

not. 1. 518. ὡς δ' ὅτε Πανδαρέου κούρη.
διαφόρως τοῖς νεωτέροις, οὐχὶ Πανδίονος, εἰ μὴ ἄρα διώνυμος ἦν V. Eust. 1874, 59: οὔτε Πρόκνης οὔτε Τηρέως μέμνηται καὶ τὸν παρὰ τοῖς νεωτέροις Ἴτυν Ἴτυλον αὐτὸς λέγει. Fluxit fortasse ex Ar.

Υ.

4. *Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.*
ἔνθ' Ὀδυσεὺς . . . κεῖτ' ἐγρηγορόων.

Nota fuit, Homerum discrimen facere inter verba *κοιμηθῆναι* et *ὑπνῶσαι*, cf. ad *Η* 482, ubi est diple etiam propter hunc locum L. Ar. 114.

63. *αὐτίκα νῦν ἢ ἔπειτα.*

Quod legitur in V sic corrigendum esse videtur: *τὸ ἔπειτα ἀντὶ τοῦ μετὰ ταῦτα· ἀντιδιέσταλται γοῦν τὸ αὐτίκα.* cf. ad *Ψ* 551. L. Ar. 151.

66. *ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι.*
*) [*ἡ διπλῆ ὅτι*] *τὸ δὲ περιττόν* H. cf. ad *β* 6.

104. not. 1.

132. *ἐμπλήγδην ἕτερόν γε τίει.*
†) *ἐν τῷ Υ τῆς Ὀδυσσείας ὑπομνήματι ὁ Ἀρίσταρχος εὐμεταβόλως.* Apoll. l. h. 67, 28. L. Ar. 152.

202. *ἐπὴν δὴ γείνεαι αὐτός.*
†) *γεννήσῃς* V.

Sic Ar. interpretatum esse hanc formam apparet ex Ar. ad

---

not. 1. 104. *ὕψοθεν ἐκ νεφέων.*
νῦν τὸν τόπον ἔφη Ἀττικῶς ἐν ᾧ εἴωθε συνίστασθαι τὰ νέφη· ἐπιφέρει γὰρ ἡ ἀλετρὶς (114) *„οὐδέ ποθι νέφος ἐστίν"* VBQ. Fluxit fortasse ex Ar.

T 26, ubi est diple periestigmene contra Zenodotum, qui legit formam *διὰ τὸ ῑ* scriptam *ἐγγίνωνται.*

321. *Ἀγέλαος.*

Fuit *διπλῆ πρὸς τὴν ὁμωνυμίαν.* Agelaum interfecit Hector cf. *Λ* 302, ubi commemoratur hic Agelaus, unus ex procis.

383. *ἐς Σικελοὺς πέμψωμεν.*

†) *ἐγινώσκετο ἄρα τὰ κατὰ τοὺς Σικελούς. οὐκ εἰκὸς οὖν ἐκεῖ τὴν πλάνην γεγονέναι* V. cf. Eust. 1896, 45. L. Ar. 244.

Φ.

1. τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε.

*) [ἡ διπλῆ ὅτι] ὁ δὲ ἀντὶ τοῦ γάρ PVBQ. cf. ad β 6. F. Ar. 35.

13. δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε.

15. τῷ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν οἴκῳ ἐν Ὀρσιλόχοιο.

†) νῦν ἐπὶ τῇ Λακωνικῇ χώρᾳ, ἧς μέρος κατὰ τοὺς ἡρωϊκοὺς χρόνους ἡ Μεσσήνη BQ. cf. ad δ 1. *B* 502. 582. L. Ar. 235. Notatus fuit praeterea v. 15 ex meris spondeis compositus cf. ad *Λ* 130. Eust. 1899, 55 et fuit diple periestigmene contra Zenodotum, quod pro Ὀρσιλόχοιο scripsit Ὀρτιλόχοιο, v. ad γ 489.

22. not. 1.

29. ἔπειτα δὲ πέφνε καὶ αὐτόν.

*) [ἡ διπλῆ ὅτι] ὁ δὲ ἀντὶ τοῦ γάρ B. cf. ad φ 1.

54. αἴνυτο τόξον ‖ αὐτῷ γωρυτῷ.

Fuit diple ὅτι λείπει ἡ σύν, cf. V ad *Ψ* 8. F. Ar. 26.

---

not. 1. 22. Ἴφιτος αὖθ' ἵππους διζήμενος.

τὸν Ἰόλης ἔρωτα οὐκ οἶδεν ὁ ποιητής, οὐδὲ ὡς ἀποτυχὼν τοῦ ἔρωτος τῆς Ἰόλης ἔκλεψε τὰς ἵππους Εὐρύτου BQ.

cf. Eust. 1899, 38. Haec et quae in scholio sequenti ad v. 27 leguntur: οἱ νεώτεροί φασιν ὡς ὅτι αὐτὸν ἀπὸ τοῦ τείχους κατέβαλεν B. Eust. 1900, 16. fortasse manaverunt ex Ar.

61. *φέρον ὄγκιον.*

Notatum fuit vocabulum *ἅπαξ εἰρημένον*, cf. schol. in V: *ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει δὲ ὄγκιον ἀγγεῖον κιστοειδές, ἐν ᾧ ἔκειντο οἱ ὄγκοι. ὄγκοι δέ εἰσιν οἱ πώγωνες τῶν ἀκίδων· καὶ ἐν ἄλλοις „ὡς δὲ ἴδεν νευρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας“* (*Δ* 151). cf. Eust. 1899, 1. Apoll. l. h. 118, 20.

62. *ἀέθλια τοῖο ἄνακτος.*

De vocabulo *τοῖο ἀντὶ τοῦ τοιούτου, οὐχ ὡς οἱ γλωσσογράφοι πάντως ἀγαθοῦ* v. ad *δ* 206. V habet *τοῦ ἰδίου.*

89. *ἀλλ' ἀκέων δαίνυσθε.*

Fuit certe nota de *ἀκέων* vocabulo. Ad *Δ* 22 Ar. ut participium verbi *ἀκέων* pro *ἀκέουσα* usurpatum esse docuit: *„οὐ γάρ ἐστιν ἀντὶ τοῦ ἡσύχως“.* An etiam nostro loco pro *ἀκέοντες* positum esse existimavit? *ἀκέοντε* legitur *ξ* 195. Alii mutaverunt *„ἀλλὰ καὶ ὥς δαίνυσθε“. ἀσύμφωνα λέγουσι τοῖς παλαιοῖς.* Eust. 1902, 46.

97. *ἐώλπει ‖ νευρὴν ἐντανύσειν.*

Ar. legit *ἐντανύειν* et notavit enallagen temporum *ἐντανύειν* pro *ἐντανύσειν*, cf. ad *X* 67. F. Ar. p. 6. *γ* 82.

111. *ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε.*

Notatum fuit *μύνῃσι* vocabulum *ἅπαξ εἰρημένον* cf. BQV: *προφάσεσιν· ἅπαξ δὲ κεῖται.* Apoll. l. h. 114, 13. Eust. 1904, 25.

146. *παρὰ κρητῆρα δὲ καλόν ‖ ἷζε μυχοίτατος αἰεί.*

†) *Ἀρίσταρχος ἀντὶ τοῦ πρῶτος. „ἔστι πόλις Ἐφύρη μύχῳ Ἄργεος“* (*Z* 152) *πάντῃ* (*πρώτῃ*?) *γὰρ ἐπὶ τῷ Ἰσθμῷ ἵδρυται ἡ Κόρινθος.* Schol. Vind. 133 apud La Roche.

260. *ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας ἑστάμεν.*

Fuit diple *ὅτι ἔξωθεν προσυπακουστέον τὸ καλῶς ἂν ἔχοι καὶ ἐν Ἰλιάδι „ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες“.* (*Π* 559). cf. Ar. ad *Π* 559. In M. Vind. 133 est: *προσληπτέον τὸ οὐδὲν κωλύει.*

277. *Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα λίσσομ᾽, ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπεν.*

†) *ὁ Ἀντίνοος· πρὸς γὰρ τὸ δεύτερον τὸ πρότερον* V. cf. L. Ar. 11.

289. *ὑπερφιάλοισι μεθ᾽ ἡμῖν.*

*) [*ἡ διπλῆ ὅτι τὸ ὑπερφιάλοισι*] *νῦν τοῖς κατ᾽ ἀρετὴν διαφέρουσιν* V. cf. ad *O* 94, ubi locum nostrum citat et sic interpretatur Ar.

306. *οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις.*

†) *Ἀρίσταρχος ἐπητέος* (cod. *ἐπητέως*, corr. Villoisonus) *διὰ τοῦ ε̄, καὶ λόγος ὑπόκειται τοιοῦτος· ἐπήτεος οἷον εὐγνώμονος· τίθησι δὲ καὶ τὴν λέξιν ἐπίπαν ἐπὶ τοῦ συνετοῦ· „τοὔνεκ᾽ ἐπητής ἐσσι καὶ ἀγχίνοος καί ἐχέφρων“* (*ν* 322) *καὶ οὐκ ἐπητύος.* Apoll. l. h. 72, 1. cf. ad *ν* 332. Eust. 1911, 7.

Versibus 350—353 asterisci fuerunt appicti, quod recte inserti sunt hic et *Z* 490—493, non autem *α* 356—359.

407. not. 2.

409. *ὣς ἄρ᾽ ἄτερ σπουδῆς τάνυσεν.*

Fuit diple *ὅτι σπουδὴ οὐχ οἷον ἐν τάχει, ἀλλὰ μόγις καὶ δυσχερῶς,* cf. ad *B* 99, ubi hunc versum citat Ar.

---

not. 2. 407. *περὶ κόλλοπι χορδήν.*

Vocabulum *κόλλοψ* interpretatus est Ar. in Odysseae commentario (*ἐν ὑπομνήματι Ὀδυσσείας*) *ὁ ἐκ τῶν αὐχενίων δερμάτων γινόμενος πασσαλίσκος,* cf. Etym. Gud. 334, 12, ubi pro *ἐν ὑπομνήματι Ἀνδρονίκου εἰς τὸ δος* legendum esse *Ἀριστονίκου εἰς Ὀδύσσειαν* vidit Beccardus in diss. de scholiis Homeri. Berol. 1850. 14, 21.

X.

31—33. ἴσκεν ἕκαστος ἀνήρ, ἐπεὶ ἦ φάσαν οὐκ ἐθέλοντα ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν, ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπτο.

*) [ἀθετοῦνται οἱ στίχοι ὅτι] οὐδέποτε Ὅμηρος ἐπὶ τοῦ ἔλεγε τὸ ἴσκε, ἀλλ᾽ ἐπὶ τοῦ ὁμοίου· ἠπάτηται οὖν ὁ διασκευαστὴς ἐκ τοῦ „ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὅμοια" (τ 203). Vind. 56.

Certe Ar. hunc locum obelis notavit, teste Eust. 1917, 56. cf. L. Ar. 97. 335.

49. οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα.

†) Ἀρίσταρχος ἐπεισέπεμψεν. Apoll. l. h. 73, 10.

84. περιῤῥηδὴς δὲ τραπέζῃ κάππεσε.

†) ὁ Ἀρίσταρχος στροβηθεὶς περιφερὴς ἔπεσε τῇ τραπέζῃ, ὡς περικλασθῆναι περὶ αὐτήν. Apoll. l. h. 130, 9. V habet ἢ περιφερής.

89. Ὀδυσῆος ἐείσατο κυδαλίμοιο.

*) [ἡ διπλῆ πρὸς τὸ σχῆμα διότι ἐλλείπει ἡ ἐπὶ καὶ πτῶσις ἤλλακται. Ὀδυσῆος ἐείσατο] ὡς ἐπὶ Ὀδυσσέα ὥρμησεν. V. cf. F. Ar. 24.

97. ἢ ἐλάσειεν φασγάνῳ.

†) πλατεῖ τῷ ξίφει πλήξειεν V. cf. L. Ar. 65. ε 132.

144—45. ἔνθεν δώδεκα μὲν σάκε᾽ ἔξελε, τόσσα δὲ δοῦρα καὶ τόσσας κυνέας, χαλκήρεας ἱπποδασείας.

†) σημείωσαι καὶ ὅτι τὸ περὶ τῶν δώδεκα σακέων καὶ τὸ ἐφεξῆς Ἀρίσταρχος ἀθετήσας κεχίακεν, ἀδύνατον εἶναι εἰπὼν τοσαῦτα βαστάσαι ἄνθρωπον. Eust. 1921, 56.

165. κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνήρ.
Ar. interpretatio vocabuli ἀΐδηλος in Etym. M. 41, 36 servata est: ἀΐδηλος ὁ ὀλοθρευτικός. οὐ γὰρ ἄξιος Ἀριστόνικος δηλοῦν λέγων τὸν ἀδηλοποιόν. cf. L. Ar. 3.

173. σφῶι δ' ἀποστρέψαντε.
†) ὑμεῖς οἱ δύο V.
cf. ad *M* 366, ubi Zenodotus legit σφῶε et ab Ar. vituperatur. Fortasse nostro etiam loco sic scripsit.

175 (192) σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
Notatus fuit ὁλοσπόνδειος στίχος cf. *Λ* 130. φ 15. Eust. 1923, 47.

188. ἔρυσάν τέ μιν εἴσω ‖ κουρίξ.
†) ὁ μὲν Ἀρίσταρχος τῆς κόμης ἐπιλαβόμενοι, ὁ δὲ Κράτης κουρίξ τὸ νεανικῶς V. Vind. 56. 133. cf. Eust. 1924, 13. L. Ar. 151. Apoll. l. h. 103, 10.

258. σταθμὸν ἐϋσταθέος μεγάροιο ‖ βεβλήκειν.
†) σημειῶδες· ἀεὶ γὰρ τὸ βάλλειν παρ' Ὁμήρῳ ἐπὶ τοῦ τυχεῖν H. cf. L. Ar. 60.

274—76. τῶν ἄλλος μὲν σταθμὸν ἐυσταθέος μεγάροιο
βεβλήκειν, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν.
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
†) τοὺς τρεῖς στίχους (257—259) καὶ μετ' ὀλίγα οὕτω τίθησιν δίχα παραποιήσεως. διό τινες ὠβέλισαν ἐκείνους ὡς ταυτολογοῦντας. Eust. 1926, 18. L. Ar. 342.

278. βάλε χεῖρ' ἐπὶ καρπῷ λίγδην.
†) ξεστικῶς. ἅπαξ δὲ ἐνταῦθα καὶ ἅπαξ ἐν Ἰλιάδι (*P* 599) ἐπιλίγδην Q. cf. Ar. ad *P* 599.

296. ἤριπε δὲ πρηνής.
*) [ἡ διπλῆ ὅτι] οὗτος ἐπ' αὐτὴν πίπτει τὴν πληγήν. V. cf. ad *E* 68.

304. *ταὶ μέν τ' ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται.*

†) *λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ εἰς τὰ νέφη. νέφη δὲ τὰ λίνα ἤγουν τὰ δίκτυα τὰ ἱστάμενα πρὸς ὀρνίθων ἄγραν.* Schol. Vind. 56. Eust. 1928, 32. Hesych. III, 151.

325. *θάνατόν γε δυσηλεγέα προφύγοισθα.*

†) *ὁ Ἀρίσταρχος ὅταν μὲν λέγῃ τὸν θάνατον τοιοῦτον σημαίνει μακροκοίμητον, ὅταν δὲ ἄλλως, καταστρέφει εἰς ταὐτὸν τῷ κακοκοίμητον.* Apoll. l. h. 61, 1.

330. *Τερπιάδης δέ τ' ἀοιδός.*

†) *Τέρπιος παῖς ἢ ὁ τέρπων* V. cf. ad *E* 60 et *I* 137.

386. *δικτύῳ ἐξέρυσαν πολυωπῷ.*

†) *σημειοῦνται οἱ παλαιοὶ ἅπαξ ἐνταῦθα μνησθῆναι τὸν ποιητὴν ἰχθύων θήρας τῆς διὰ δικτύων. τὸ γὰρ ἐν Ἰλιάδι „μή πως ὡς ἀψῖσι λίνου ἁλόντες πανάγρου" ἄδηλόν φασι εἴτε ἰχθύων εἴτε πεζῶν ζώων εἴτε καὶ πτηνῶν ἄγραν δηλοῖ. τὴν δέ γε δι' ὁρμιᾶς καὶ ἀγκίστρου θήραν πολλάκις εἶπεν.* Eust. 1931, 30.

402. *αἵματι καὶ λύθρῳ πεπαλαγμένον.*

*) [*ἡ διπλῆ ὅτι*] *ἐκ παραλλήλου τὸ αὐτό* H. cf. F. Ar. ad *N* 276.

481. *οἶσε θέειον.*

Diple fuit, quod *οἶσε* forma futuri significationem non habet, sed idem ac praesentis imperativus *φέρε* valet, cf. ad *O* 718, F. Ar. p. 6.

Ψ.

3. *πόδες δ᾽ ὑπερικταίνοντο.*

†) *Ἀρίσταρχος ἀνεπάλλοντο καὶ ἐκινοῦντο προθυμουμένης αὐτῆς βαδίζειν ταχέως, μὴ δυναμένης δὲ, ἀλλὰ κατὰ βραχὺ διὰ τὸ γῆρας.* MS. Barnes. Idem Apoll. l. h. 158, 8 ubi additur: *φαίνεται τοίνυν τὸ πλῆρες κατὰ Ἀρίσταρχον ἐρικταίνοντο, καὶ δῆλα τὰ τῆς ἀναγνώσεως. τῶν ἅπαξ εἰρημένων.* cf. Eust. 1936, 10. L. Ar. 311.

7. *ἦλθ᾽ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται.*

*) [*ἡ διπλῆ ὅτι τὸ οἶκον ἱκάνεται*] *ἀντὶ τοῦ καὶ εἰς οἶκον ἱκάνει* H. cf. F. Ar. 26.

64. *ὕβριν ἀγασσάμενος θυμαλγέα.*

†) *ὑπερεκπλαγείς* H. cf. L. Ar. 147.

76. *ἑλὼν ἐπὶ μάστακα χερσίν.*

*) [*ἡ διπλῆ ὅτι τὸ μάστακα*] *νῦν τὸ στόμα, ἐν δὲ τῇ Ἰλιάδι* (*I* 324) *καὶ τὸ μάσημα* „*μάστακ᾽ ἐπεί κε λάβῃσ*". HQ. cf. ad *I* 324. *δ* 287.

85. *κατέβαιν᾽ ὑπερώϊα.*

†) *ὑπερωΐων, ὡς τὸ* „*διὰ τ᾽ ἔντεα καὶ μέλαν αἷμα*" (*K* 298). H. cf. ad *K* 298. F. Ar. 20. Eust. 1993, 10.

89. *ἐν πυρὸς αὐγῇ.*

†) *ἐν τῷ πεφωτισμένῳ τόπῳ καὶ πεφλογισμένῳ ἀπὸ τοῦ πυρός* V. cf. ad *I* 206. *σ* 44.

91. *ποτιδέγμενος εἴ τί μιν εἴποι.*

Fuit diple ὅτι ἡ πρὸς ἐλλείπει, ἵν' ᾖ εἴ τι προσείποι cf. F. Ar. ad *P* 237 ubi corr. ψ 191 in ψ 91.

198. ἑρμῖν' ἀσκήσας.

†) ὁ Ἀρίσταρχός φησιν, ἑρμῖνας ἐκάλουν τοὺς πόδας τῶν κλίνων, οὗτοι δὲ ἦσαν σφηνοειδεῖς τῇ κατασκευῇ· τῶν ἅπαξ εἰρημένων. Apoll. 77, 5. HQV habent: κλίνης ποδάριον· ἕρμα γάρ ἐστι τῆς κλίνης. L. Ar. 152.

211. οἵ νῶϊν ἀγάσαντο.

*) [ἡ διπλῆ ὅτι τὸ ἀγάσαντο νῦν ἀντὶ τοῦ] ἐφθόνησαν Q. L. Ar. 147. ψ 64.

218—224. οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
ἀνδρὶ παρ' ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
εἰ ᾔδη, ὅ μιν αὖτις ἀρήιοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἶκονδε φίλην ἐς πατρίδ' ἔμελλον.
τὴν δ' ἦ τοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές.
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θυμῷ,
λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.

ἀθετοῦνται οἱ ἑπτὰ στίχοι οὗτοι ὡς σκάζοντες κατὰ τὸν νοῦν. MV. Vind. 133. Eust. 1946, 13.

225. ἐπεὶ ἤδη σήματ' ἀριφραδέα κατέλεξας.

*) [ἡ διπλῆ ὅτι τὸ ἀριφραδέα] ἀντὶ τοῦ ἀριφραδέως H. cf. F. Ar. 29.

281. θάνατος δέ μοι ἐξ ἁλός.

†) ἔξω τῆς θαλάσσης. Vind. 133. cf. *Λ* 113. λ 134.

296. †) Ἀρίσταρχος καὶ Ἀριστοφάνης πέρας τῆς Ὀδυσσείας τοῦτο ποιοῦνται MV. Vind. 133. Idem HMQ. Eust. 1948, 49.

310—343. †) ῥητορικὴν ποιεῖται ἀνακεφαλαίωσιν τῆς ὑποθέσεως καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας· καλῶς οὖν ἠθέτησεν Ἀρίσταρχος τοὺς τρεῖς καὶ τριάκοντα. Vind. 133. H.

Versus 310—312, 314, 318, 322, 326—330, 333, 338 in M habent obelos appictos.

Ω.

1 †) Ἀρίσταρχος ἀθετεῖ τὴν νέκυιαν κεφαλαίοις τοῖς συνεκτικωτάτοις τοῖςδε. ὅτι οὐκ ἔστι καθ' Ὅμηρον ψυχοπομπὸς ὁ Ἑρμῆς (cf. Ar. ad *Χ* 362. L. Ar. 185). ἀλλ' οὐδὲ χθόνιος ὁ θεός. Κυλλήνιος δὲ οὐδαμοῦ εἴρηται εἰ μὴ (corr. Spohnius pro ἢ) ἅπαξ. ἀλλὰ πῶς αἱ ψυχαὶ οὐκ αὐτόμαται κατίασιν, ὡς ἐν Ἰλιάδι; (cf. ad *Χ* 362). ἀλλ' αὗται καὶ ἄταφοι κατίασιν (cf. ad *Ψ* 73. L. Ar. 174). ἀλλ' οὐδὲ ἔοικεν εἰς Ἅιδου λευκὴν εἶναι πέτραν. ἄκαιρος δὲ καὶ ἡ Ἀχιλλέως καὶ Ἀγαμέμνονος ὁμιλία. καὶ Ἀγαμέμνων οὐκ ἀγείρει τὴν στρατείαν, ἀλλ' ὁ Νέστωρ. πῶς δὲ καὶ τὸ σῶμα διέμεινε τοῦ Ἀχιλλέως ἐπὶ τοσαύτας ἡμέρας; ἀλλὰ καὶ τὸ ἀριθμεῖν τὰς Μούσας οὐχ Ὁμηρικόν (cf. L. Ar. 185. Schol. V ad *Ω* 720). ἄλογον δὲ καὶ ἐπὶ τῶν νεῶν ὄντων αὐτῶν λέγειν ὅτι δείσαντες τὰς Νηρηίδας ἔφυγον ἐπὶ τὰς ναῦς ἀπὸ τοῦ τῶν Μυρμιδόνων ναυστάθμου. πῶς δὲ καὶ ὁ Ἀμφιμέδων ἐπίσταται τὴν ἐν τοῖς ἀγροῖς ἐπιβουλήν; MV.

In schol. MV cuique Aristarchearum obiectionum responsio vel solutio subiicitur brevissimis, quas omisi, cf. Eust. 1957, 16.

13. αἶψα δ' ἵκοντο κατ' ἀσφοδελὸν λειμῶνα,
ἔνθα τε ναίουσι ψυχαί.

cf. Ar. ad *Ψ* 73: ἡ διπλῆ ὅτι ἐκτὸς τοῦ ποταμοῦ ὑποτίθεται τὰς τῶν ἀτάφων ψυχὰς καὶ μὴ ταῖς ἐν τῷ ἐρέβει. ἡ δὲ ἀναφορὰ πρὸς τὰ ἀθετούμενα ἐν τῇ νεκυίᾳ. vid. Porphyr. ad *Ψ* 71.

Versus 40 ex *Π* 776 non recte hic insertus est cf. Ar. ad *Π* 776.

60. *Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ.*
cf. schol. *Ω* 720 in V: *ἀθετητέος δὲ ὁ Μουσῶν ἐπ' Ἀχιλλεῖ θρῆνος.*

Versus 74 asteriscum habuit cf. ad *Ψ* 92.

119. *σπουδῇ παρπεπιθόντες Ὀδυσσῆα.*
†) *μόγις.* V. cf. L. Ar. 116. *φ* 409.

187. *σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος.*
†) *καὶ πῶς μίγνυνται τοῖς νεκροῖς τοῦ Πατρόκλου λέγοντος ἐν Ἰλιάδι (Ψ 73) „οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν"* H. cf. ad v. 1. *Ψ* 73.

208. *περὶ δὲ κλίσιον θέε πάντῃ.*
†) *ὁ Ἀρίσταρχος κύκλοθεν τοῦ οἴκου οἷον ἐκ στιβάδων ᾠκοδομημένον, πρὸς οὗ καὶ οἱ θρόνοι ἔκειντο, ὥστε οὖν καὶ ἐπ' αὐτῶν καθιζομένους δειπνεῖν καὶ ἐγκοιμᾶσθαι.* Apoll. l. h. 100, 19. cf. Porphyrium ad *I* 90.

294. *πολύδωρος Πηνελόπεια.*
†) *ἡ πολλοῖς δώροις γαμηθεῖσα* V. cf. L. Ar. 197.

402. *οὖλέ τε καὶ μάλα χαῖρε.*
Notatum fuit *οὖλε* vocabulum *ἅπαξ εἰρημένον.* cf. schol. H: *ὑγίαινε· παρὰ τὸ ὅλην· τῶν ἅπαξ εἰρημένων.* Eust. 1965, 31. Apoll. l. h. 124, 11.

413. *Ὄσσα δ' ἄρ' ἄγγελος ὦκα.*
*) [*ἡ διπλῆ ὅτι ὄσσα ἡ*] *θεία κληδών· οἱ δὲ νεώτεροι ἀντὶ τῆς φωνῆς* HQ. cf. L. Ar. 87.

425. *τοῦ ὅ γε δακρυχέων.*
*) [*ἡ διπλῆ ὅτι*] *λείπει ἡ περί* H. cf. F. Ar. 26.

INDEX.

A.

P.

Σ.

T.

Lipsiae, typis J. B. Hirschfeld.

CORRIGENDA ET ADDENDA.

p. 13 l. 29 pro saepins l. saepius.

- 15 - 11 ,, ξ 37 l. ζ 37.
- 15 - 18 ,, σ 8 l. κ 238, sic etiam p. 41 l. 19 et p. 72 l. 6.
- 17. Fortasse etiam ex Ar. manaverunt quae leguntur in E, ad β 3: et ad observationes de heroum armis pertinent περὶ δὲ ξίφος: σημαίνει ὅτι τὸ παλαιὸν ὤμοις τὰ ξίφη περιεβάλλοντο καὶ ὡς ἐν Ἰλιάδι φησὶν ὁ ποιητὴς „τῆ ῥα δύο τελαμῶνε περὶ στήθεσσι τετάσθην, ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου.“ (Ξ 404).
- 18 - 19 ,, κηρὺξ l. κῆρυξ.
- 22 - 23 ,, deleatur δ 378.
- 26. Quod habet S ad β 381 fortasse Aristonici est: ἐς δώματ᾽ ἰών: ἰστέον ὅτι δῶμα Ὅμηρος οὐ πάντοτε τὴν ὅλην οἰκίαν λέγει, ἀλλ᾽ ἔστιν ὅτε καὶ τὸ ἐνδότερον αὐτῆς μέρος.
- 29 - 14 pro κ 249 l. φ 97.
- 30 - 16 et 102 l. 5 pro ρ 321 l. ο 317.
- 32 - 34 pro ἰνδάλλαται l. ἰνδάλλεται.
- 38 - 18 ,, λ 568 l. ζ 221.
- 41 - 13 ,, θοινηδῆναι l. θοινηθῆναι.
- 41 - 15 deleatur ω 475.
- 64 - 29 pro ἐσχάρα l. ἐσχάρᾳ.
- 67 - 10 ,, κ 249 l. ϑ 565.
- 87 - 33 deleatur ω 475.